«Οὔπω μοι μέχρι τοῦ δεῦρο ἤκουσται, ποῦ ποτ' ἂν εἴη περιωρισμένη ἡ πατρική σου ἁγιωσύνη· διὸ ὑπέμεινα συνέχων τὴν χεῖρα καὶ οὐχ εὑρίσκων πληρῶσαί μου τὴν ἐπιθυμίαν· ἐλπίδι οὖν πτερωθεὶς ἐπιτεύξασθαι τοῦ ποθουμένου, ἐπέστειλα τὸ παρὸν καὶ οἶδ' ὅτι οὐ διαψευσθήσομαι τῆς ἐλπίδος ἐν Κυρίῳ· ἀλλά γε δεῦρο φράσον, ὦ μεγαλοπάτορ, πῶς ἡ ἔξορία καὶ ποῦ καὶ ὁ ὑποδεξάμενός σε χῶρος, οἵ τε αὐτόχθονες καὶ οἱ πλησιάζοντες; ἆρα δεξιοὶ καὶ τῆς ἐκλεκτῆς μερίδος ἑκάτερα, ἢ ἄμφω τὰ ἐναντία καὶ σκολιάζοντα; πλὴν ὅτι διὰ Χριστὸν καὶ τὰ δυσχερῆ εὐχερῆ, καὶ τὰ λυπηρὰ περιχαρῆ· μακάριος εἶ ὑπὲρ ἀληθείας δεδιωγμένος τῆς οἰκείας ἐκκλησίας καὶ ἐξωρισμένος πορρωτέρω τῆς ἐνεγκαμένης· μακάριος εἶ διὰ Κύριον ἐμπαιχθεὶς καὶ κονδυλισθεὶς ὑπὸ τῶν ἀσεβῶν ἔμπροσθεν τοῦ Καϊαφαϊκοῦ συνεδρίου· μετὰ Χριστοῦ ἐθεατρίσθης σὺν τοῖς ὁμάθλοις, σὺν Χριστῷ καὶ ἐδικάσθης καὶ ἐπὶ τὸν σταυρὸν μὲν οὐκ ἀνῆλθες ὅτι μὴ καιρός, σταυροφορῶν δὲ ἐξῆλθες προπηλακισθεὶς καὶ διασυρθεὶς παρὰ τῶν παρανόμων· ἐξ οὗ καὶ ὁ τῆς δικαιοσύνης σοι στέφανος οὐρανόθεν ἀγγελόπλοκος. Ἄγε δὴ πατέρων κορωνὶς εἰς μέσον τοὺς θείους σου ἀγῶνας· σύναψον αὐτοῖς καὶ τοὺς ἑξῆς, ἔτι γὰρ καιρὸς μαρτυρίου εἰς κόσμον τῇ Χριστοῦ Ἐκκλησίᾳ· ἀπαράτρεπτος ἔσο (μετ' αἰδοῦς ὑπομνήσκω, λαβὼν ἔκπαλαι ἐπιτροπὴν τοῦ λέγειν ἐξ ἄκρας σου ταπεινοφροσύνης) τῆς καλῆς ὁμολογίας, ἧς ἔλαβες ὡς ἔπαθλα τὰς ἐντίμους ἀτιμίας, καὶ ἣν ὡμολόγησας ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων· διὰ Χριστὸν ἔτι παθεῖν τὸ ὑπὲρ τῆς ἁγίας αὐτοῦ εἰκόνος ἀθλῆσαι· οὔτε γάρ, φησὶν ὁ Μέγας Βασίλειος, τὸ κράτος ἐπ' ἀμφοῖν σχίζεται οὔτε ἡ δόξα μερίζεται· οἱ δὲ χριστομάχοι οὐ μόνον μερίζουσιν, ἀλλὰ γὰρ καὶ ἀτίμως καθυβρίζοντες διὰ θατέρου θάτερον ἀπαρνοῦνται· ἰουδαΐζοντες πλαγίως, καὶ τὸ τῆς οἰκονο-

[228]) ***Κρουμβάχερ.*** Ἱστορία τῆς Βυζ. Λογοτεχνίας (μετάφρ. Γ. Σωτηριάδου). Ἀθῆναι 1897), τόμ. Α', σελ. 395· πρβλ. καὶ σελ. 389. — Κώδ. Bodl. Laud. 69. σελ. —Β' ἔκδ. Ἀκολουθίας ὡς ἐν σημ. 226 σ. 19-32.

[229]) Ὅρα σημ. 136. — **A. Card. Maio** ὡς ἀνωτέρω σελ. 74 καὶ ἑξῆς. — **Migne** τόμ. 99, σελ. 1367. 1673.

μίας μυστήριον ἀνασκευάζοντες· εἰ γὰρ μὴ εἰκονίζεται Χριστὸς καθ' ἡμᾶς, ἔστιν ἀπερίγραπτος ὡς ἔξω σώματος· πᾶν γὰρ τὸ ἐνσώματον περιγραφόμενον· καί που, ὅτι ὁ λόγος σὰρξ ἐγένετο; ἢ πῶς διαγνωσθείη ὁ τῆς σαρκώσεως λόγος, εἰ ὡς πρὶν σωματώσεως, οὕτω καὶ μετὰ σωμάτωσιν ἀπερίγραπτος, ἤτοι ἀνεικόνιστος χαρακτῆρι τῷ καθ' ἡμᾶς μεμένηκεν Χριστός; δεῖ γὰρ διαφορὰν εἶναι δυοῖν πραγμάτων ἑτεροφυῶν, οἷον ὕδατος καὶ πυρός, ὕλης καὶ ἀϋλίας, συνθέσεως καὶ ἁπλότητος, καὶ τῶν ἐξ ἐναντίας ἁπάντων ἀφεστηκότων ἀλλήλοις· οὕτω τοιγαροῦν καὶ ἀσωμάτητος καὶ σωματώσεως, ἥτις ἐστὶ διαφορουμένη πρὸς τὸ περιγραπτὸν καὶ ἀπερίγραπτον, καθ' ἣν Χριστὸς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, τοῖν δυοῖν τὰ ἰδιώματα ἐν μιᾷ ὑποστάσει ἀπαράφθαρτα φέρων· καὶ γέγονεν ὁ ἄϋλος, ἔνυλος· ὁ ἁπλοῦς, σύνθετος· ὁ ἄσαρκος, ἔνσαρκος· ὁ ἀνεμφερὴς καὶ ἀνεικόνιστος, ὅμοιος ἡμῖν κατὰ πάντα· εἰ δὲ οὐκ εἰκονίζεται, οὔπω διαφορά, οὔπω σύνοδος τῶν ἐναντίων ἐκ θείας εὐδοκίας τε καὶ δυνάμεως· διὰ τοῦτο οὐδὲ σάρκωσις· ψεύδεται δὲ καὶ ὁ λέγων, «Θεὸς ἐφανερώθη ἐν σαρκὶ» καὶ ὅτι «παραπλησίως ἡμῖν καὶ αὐτὸς μετέσχε σαρκὸς καὶ αἵματος»· οὕτω συνῆκται τοῖς δόγμασιν ἰουδαΐζειν τοὺς εἰκονομάχους καὶ προδρόμους πεφηνέναι τοῦ ἀντιχρίστου· ὧν φύγοιμεν, ὦ πάτερ, τὴν ἀσέβειαν ἴσα ἰουδαϊσμοῦ, μὴ ἀτονοῦντες πρὸς τὰ πάθη, μηδ' αὖ πρὸς τὸ μακροημερὲς τῆς αἱρέσεως, μιμούμενοι τοὺς ἁγίους τοὺς διὰ μακροθυμίας καὶ πολλῶν παθημάτων κληρονομήσαντας τὰς θείας ἐπαγγελίας· συγγνωμονήσεις δέ μοι πάντως, ὦ ἱερὰ κεφαλή, ἐφ' οἷς διελέχθην τὰ προστεταγμένα ποιοῦντι· ἀλλ' οὖν καὶ ὑπερεύξει ἐν ἀφέσει ἁμαρτιῶν καὶ ἀπτωσίᾳ λόγου καὶ ἔργου παρελθεῖν με τὸν τῇδε βίον».

β') *Ἰωάννῃ Σάρδης.*

«Ἀπὸ χρόνου ἠκούσαμεν νοσηλεύεσθαί σου τὴν πατρικὴν ἁγιωσύνην, ἄρτι δὲ μικροῦ δεῖν καὶ ἀπογνωσθεῖσαν· καὶ τοσοῦτον ἐθροήθημεν οἱ ταπεινοί, καὶ συνεκινήθημεν λυπηρῶς, ὡς ὁρμῆσαι καταλαβεῖν ἡμᾶς ἐν τοῖς αὐτόθι, καὶ ὄψει ὑπολαβεῖν τὴν ἀπευκτὴν ἀκοήν· οὐκ ἐξεγένετο δὲ διὰ τὰ παριστάμενα τούτῳ· διὸ ἠναγκάσθημεν οἱονεὶ πετασθῆναι τοῖς γράμμασιν ὡς ἐν σώματι, καὶ ἰδεῖν σε τὸν καλὸν πατέρα, τὸν γνήσιον φίλον, τὸν γενναῖον μάρτυρα τῆς ἀληθείας· εἴπερ ὑπὲρ αὐτῆς σὺ καὶ ἐξόριστος καὶ φρουροδέσμιος· καί γε πρὸ τούτων θέατρον γενόμενος, ἀποστολικῶς εἰπεῖν, καὶ ἀγγέλοις καὶ ἀνθρώποις, καθ' ἣν ἡμέραν ἔρριπταί σου ὑπὸ τῶν ἀσεβῶν, κατὰ πρόσωπον τοῦ Καϊαφαϊκοῦ συνεδρίου; εἰς τοὔδαφος ἡ ἱερὰ κορυφή. Ὦ τί γίνεται ἐν ἡμῖν; τί ἀπαίρειν τῶν τῇδε σπεύδει ὁ στύλος τῆς Ἐκκλησίας; Μεῖνον μεθ' ἡμῶν, ἔτι μεῖνον· συγκακοπάθησον τῷ Εὐαγγελίῳ ὡς καλὸς στρατιώτης· ὁρᾷς ὅπως ἔνεστιν ὁ πόλεμος; ὅπως βαλλόμεθα καὶ βάλλομεν ὑπὲρ τοῦ λόγου; Ναὶ

ἀντιβολοῦμεν, ἐπίμεινον· αἴτησαι ὃν ὡμολόγησας Χριστόν, καὶ ὁμολογεῖς προσκυνεῖν ἀνθρωποπρεπῶς ἐγγραφόμενον· καὶ εἰσακούσει τῆς δεήσεώς σου· εἰ δὲ πάντως ἀπαίρεις, οὕτω τῆς Προνοίας κελευούσης, αὐτὸς μὲν χωρήσεις, εὖ ἴσμεν, ὁμολογίας ἔπαθλον ἀπενεγκάμενος· ἡμῖν δὲ ἵλεω τὸν Θεὸν τὸν ἀγαθὸν καταστήσεις ταῖς πρεσβείαις, οὐ μὴν ἀλλὰ καὶ εἰς τὸ ταχύναι ἐπισκέψασθαι τὴν ἑαυτοῦ Ἐκκλησίαν».

VIII.

Πόνημα Σάρδεων Πέτρου [τοῦ Β΄] [230]

Ἐν τῷ ὑπ' ἀριθμ. 441 κώδικι τῆς ἐν Μόσχᾳ Συνοδικῆς Βιβλιοθήκης (16 αἰῶνος, φ. 113 β—114 β) σημειοῦται τὸ ἑξῆς: «*Πέτρου Μητροπολίου Σάρδεων*: (ἀρχ.) «*Καὶ Σωκράτης ὁ Σωφρονίσκου*» (τέλος).

IX.

Ἔργα Σάρδεων Ἰωάννου [τοῦ Β΄] [231]

Ἀναφέρεται διασώσας: Μαρτύριον τοῦ μάρτυρος Νικηφόρου, ρητορικὴν διασκευὴν τῶν προγενεστέρων μαρτυρίων τοῦ αὐτοῦ ἁγίου καὶ ἀνέκδοτον βίον τῶν ἁγίων Βαρβάρας καὶ Ἰουλιανῆς.

X.

Ἐπιστολὴ Οἰκουμενικοῦ Πατριάρχου Νικολάου τοῦ Μυστικοῦ [τὸ β΄ 912—925] ***πρὸς Ἀντώνιον τὸν Σάρδεων.*** [232]

Ἀντωνίῳ Μητροπολίτῃ Σάρδεων.

«Ἀλγοῦντες οὐ μικρῶς καὶ σπαρασσόμενοι τὴν ψυχὴν ἐπὶ ταῖς καταλαμβανούσαις ὡς ἡμᾶς φήμαις περὶ τῆς ὑμῶν ἁγιωσύνης (κατελάμβανον γὰρ ἀλλεπάλληλοι μηνύουσαι χαλεπῶς ὑπὸ ἀρρωστίας συνέχεσθαι)· ἀλγοῦντες οὖν ἐπὶ τούτοις λίαν ηὐχαριστήσαμεν τῷ Θεῷ διὰ τοῦ κοινοῦ ἡμῶν τέκνου τοῦ Σάβα καὶ τὴν ἀπαλλαγὴν τῆς νόσου ἀναμαθόντες, καὶ τὸ χάριτι Θεοῦ ἐν ὑγείᾳ σε τελειοτάτῃ διατελεῖν· ἣν καὶ ἔτι παράσχοι ὁ ἀγαθὸς ἀμιγῆ πάσης λυπηρᾶς διαθέσεως προσεῖναι τῇ σῇ ἀρχιερωσύνῃ εἰς ὄφελος μὲν τῶν ὑπὸ σοὶ ποιμαίνεσθαι λαχόντων, εἰς εὐφροσύνην δὲ ἡμετέραν, καὶ εἰς θείαν δόξαν, οἷς διὰ τῶν εὐσεβῶς καὶ θεοφιλῶς πολιτεύεσθαι παιδευομένων διὰ τῆς ὑμῶν ὁσιότητος δοξάζεται ὁ Θεός. Καὶ ταῦτα μὲν οὕτως· ἓν δὲ λοιπὸν ἔτι προσθήσω· μὴ βραδύνῃς, εἰ δυνα-

---

230) Περιγραφὴ τῶν Ἑλλ. χειρογράφων τῆς ἐν Μόσχᾳ Συνοδικῆς Βιβλιοθήκης ὑπὸ ἀρχιμ. Βλαδιμήρου. Μόσχα, 1894, τόμ. Α΄. —Ὅρα καὶ σημ. 53.

231) Ὅρα σημ. 140. — *Κρουμβάχερ* κλπ. Α΄, σελ. 401.—Acta S.S. Februarii 2. σελ. 285-288.—Κώδ. Παρισ. 1458 (11 αἰῶνος) φ. 46-49.

232) Ὅρα σημ. 142.—Migne, τόμ. 111, σελ. 369,

τόν, πρὸς τὴν ἐπανέλευσιν, ὥστε ὀφθῆναι ἡμᾶς ἀλλήλοις, καὶ ἀπολαῦσαι καὶ συνουσίας καὶ ὁμιλίας πρὸ τοῦ τὴν ἡμῶν ταλαίπωρον ζωὴν ὑπὸ τῶν συνεχουσῶν θλίψεών τε καὶ κακώσεων ἀπαγορεῦσαι».

XI.

Ἔργα τοῦ Σάρδεων Λέοντος. [233]

α΄] Ὁ ἀοίδιμος Σπυρίδων Λάμπρος ἀντέγραψεν ἐκ τοῦ ὑπ' ἀριθμὸν III, A. A. 6 κώδικος τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Νεαπόλεως (φ. 112ᵃ) τὰ ἑξῆς: «*Ἐπιστολὴ Λέοντος μητροπολίτου Σάρδεων*».

Ἀρχ. «ἄρτι τῆς ἑῴας διαυγαζούσης, καίτοι μὴ ὂν ἐν ἕθει· τρίτη γὰρ ἦν ἡμέρα· κριτήριον συνεκροτεῖτο· τύποι τῆς ἀγωνίας τὸ ὑπερῴ (sic, μεθ' ὃ κενὸν διὰ γραμμάτων διεξεσμένον) τοῦ θείου ἱλαστηρίου ἐναπεκέκριτο».

τέλ. (φ. 113)ᵃ «συγκέχυνται δὲ νόμοι καὶ θεσμοὶ καὶ χρόνιοι ἐθισμοί· ἀφανιζέσθωσαν λοιπὸν καὶ ἐξ αὐτῶν τῶν γραμμάτων ἃ μόνα λοιπά».

β΄] Ἐν τῷ ὑπ' ἀριθμ. 690 κώδικι τῶν ἑλλ. χειρογράφων νῆς Ἐθνικῆς Βιβλιοθήκης τῶν Παρισίων εὕρηται ἐν μιᾷ μόνῃ σελίδι (108ᵛ) τὸ ἑξῆς: «*δίστιχα Λέοντος μητροπολίτου Σάρδεων*».

XII.

Σφραγὶς τοῦ Σάρδεων Ἰωάννου. (τοῦ Γ) [234]

Ὁ γνωστὸς Βυζαντιολόγος Gustave Schlumberger κατεῖχε σφραγῖδα Ἰωάννου τινὸς Μητροπολίτου Σάρδεων φέρουσαν τὴν ἐπιγραφήν:

ΚΕ Β'Θ' ΤΩ CΩ Δ$ [Λ'(ω)] ΙΩ (άννῃ) ΜΗΤΡΟΠΟΛΙΤΗ CΑΡΔ[εων] ἢ CΑΡΔ[ων].

Ἡ ἐπὶ τῆς σφραγῖδος ἀπεικόνισις τοῦ ἁγίου Μιχαὴλ θέτει, κατὰ τὸν αὐτὸν Βυζαντιολόγον, τὸ μικρὸν τοῦτο μνημεῖον ἐπὶ τῆς ἐποχῆς τῶν Κομνηνῶν. Πάντως πρόκειται καθ' ἡμᾶς περὶ Ἰωάννου τοῦ Γ΄.

—Ἀναφέρεται καὶ ἕτερον μικρὸν μνημεῖον Ἰωάννου Μητροπολίτου

---

233) Ὅρα σημ. 142.—α΄] ***Νέος Ἑλληνομνήμων*** ἐκδοθεὶς ἐπιμελείᾳ Κ. Δυοβουνιώτου τόμ. 18ος Ἀθῆναι (1924) σελ. 221—2.—Ὅρα καὶ τόμ. Α΄ (1904) σελ. 377, ἔνθα ἡ ἐπιστολὴ αὕτη σημειοῦται ὡς ἀποσταλεῖσα ὑπὸ Θεοδώρου τοῦ Προδρόμου «***Λέοντι Μητροπολίτῃ Σάρδεων***». — β΄] H. Omont, inventaire sonmmaire des manuscrits du supplement grec de la Bibliot. Nationale, Paris, 1883 σελ. 80. —Ὅρα καὶ Byzantinische Zeitschrift τόμ. 10ος (1901) σελ. 315 ἔνθα ὁ λόγος περὶ «***δύο μέχρι τοῦδε ἀγνώστων ποιημάτων τοῦ Σάρδεων Λέοντος***».

234) Sigillographie de l'empire byzantin par Gustave Schlumberger, Paris, 1884 σελ. 254.—Βυζαντινὰ Μολυβδόβουλα τοῦ ἐν Ἀθήναις Ἐθνικοῦ Νομισματικοῦ Μουσείου ὑπὸ ***Κωνστ. Μ. Κωνσταντοπούλου***, Ἀθῆναι 1917 σελ. 39. — Ὅρα καὶ σημ. 144.

Σάρδεων, καλῶς διατηρούμενον, τῆς ια΄ ἑκατονταετηρίδος, (καὶ πάλιν, καθ' ἡμᾶς, Ἰωάννου τοῦ Γ΄), φέρον ἐπὶ τοῦ ἑνὸς μέρους τὰ στοιχεῖα ΘΥ καὶ τὴν Θεοτόκον ἔχουσαν ἐπὶ τοῦ στήθους τὸ βρέφος ἐν δίσκῳ καὶ ἐπὶ τοῦ ἑτέρου τὰ ἑξῆς :

† ΘΚΕΒ, Θ,—ΤΩ CΩ ΔΟΥ—ΙΩ ΜΡΟΠΤΟ CΑΡΔΕ.

(=†Θ(εοτό)κε β(οήθει) τῷ σῷ δού(λῳ)Ἰω(άννῃ) Μ(ητ)ροπο(λίτῃ) Σάρδε(ων).

XIII.

Ποιήματα Σάρδεων Νικηφόρου τοῦ Χρυσοβέργη. [235])

Α΄] Ἐν τῷ Cod. Ottobon. Gr. 167 (ιε΄ αἰῶνος), μεταξὺ φ. 148—161, σώζονται : «*Νικηφόρου τοῦ Χρυσοβέργει μητροπολίτου Σαρδαίων ΣΤΙΧΟΙ*» ἀνέκδοτοι.

Ὁ πλήρης τίτλος ἔχει ὡς ἑξῆς : «*Στίχοι τοῦ λογιωτάτου ρήτορος κῦρ Νικηφόρου τοῦ Χρυσοβέργη, μητροπολίτου Σάρδεων, εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου*». [236])

Ὅρα θεατὰ τῆς προφητείας τέλος
τὸ δεσποτικὸν ἐμφανές· βλέπει ὄρος,
προκείμενον νῦν ἐσχάταις ἐν ἡμέραις,
ἐν αἷς τελειοῖ χρόνον τὸν ἐνθάδε·
κύκλῳ δὲ τούτου νεφέλας συνηγμένας,
οὐκ ἐκ βάθους γῆς φυσικῶς εἱλκυσμένας,
ἀλλ' ἐξ ἀδήλων ἀτμίδων πηγνυμένας,
ὄμβρῳ βλιττούσας τὴν τεραστίαν χύσιν·
Θεὸς γὰρ αὖθις σάρκας ὡσεὶ χνοῦν βρέχει
καὶ θαυματουργεῖ μητρικαῖς ἐν ἐξόδοις,
ὅμοια τοῖς πρὶν Ἰσραὴλ ἐν Ἐξόδοις·
οὔκουν πετεινοὺς ὄρνιθας βρέχει πάλιν,
ἀλλὰ πτερωτοὺς τοὺς γεηροὺς δεικνύει,
καὶ τοὺς ἁλιεῖς ἁλιεύει πανσόφως

[235]) Ὅρα σημ. 147. Ἐν κώδ. Σιναϊτικῷ 482 (1117) ιδ΄ αἰῶνος σ. 346ᵃ—347ᵃ εὑρηται πρᾶξις ἀνωνύμου Πατριάρχου γενομένη «μηνὶ Μαΐῳ ε΄, ἡμέρα στ΄, Ἰνδικτιῶνος ε΄» καὶ φέρουσα σὺν ἄλλοις καὶ ὑπογραφήν : ***Νικηφόρος διάκονος πατριαρχικὸς νοτάριος ὁ Χρυσοβέργης.*** Ἡ ὡς ἄνω χρονολογία συμπίπτει πρὸς τὰ ἔτη 1173, 1187, 1202. (Ὧρα Μπενέσεβιτς, Ὀπισάνις κλπ. Πετρούπολις. 1911 σ. 290).

[236]) Ὁ πάλαι ποτὲ ἀντιγραφεὺς τῶν στίχων τοῦ Νικηφόρου παρουσιάζεται ἀνορθόγραφος εἰς ἄκρον. Ἀλλ' ὁ σεβαστὸς φίλος κ. Ξ. Σιδερίδης ἀντιγράψας αὐτοὺς ἐκφωτοτυπώματος, ἀποσταλέντος αὐτῷ, ἐπέφερε τὰς ἀναγκαίας ὀρθογραφικὰς διορθώσεις εἰς τὸ κείμενον, ὅπερ καὶ δημοσιεύομεν ὡς ἀνέκδοτον κατ' εὐγενῆ αὐτοῦ συγκατάθεσιν. Τὸ βέβαιον εἶνε ὅτι πολλὴ ἀσάφεια παρατηρεῖται ἐν τοῖς στίχοις τούτοις

ὡς ἐν γαλήνῃ τῶν νεφῶν τῇ συστάσει·
καὶ νήχεται γοῦν χύσις ὑγρὰ ὀφρύων,
ἀνὴρ θαλασσόβιος ἐκ τεραστίου.
Πῶς ἂν τὸ θαῦμα ποικιλότερον φράσεις ;
Πόκον Γεδεὼν ἐννοῶ τὴν Παρθένον,
εἰς ἣν κατῆλθε καὶ προτοῦ θεία δρόσος·
καὶ νῦν νεφῶν πύκνωσιν εἰς ταῦτα βλέπω·
ἀποστολικὰ κατάγουσαν σώματα·
φέρει δὲ κλῆσιν τοῦ Σολομῶντος κλῆσις
καὶ δυνατοὶ κυκλοῦσιν αὐτὴν ὁπλῖται
τοῖς πνευματικοῖς θυρεοῖς ὡπλισμένοι.
Πάλιν κιβωτὸς καὶ κατάπαυσις νέα
ἐξ ἀλλοφύλων οὐδαμῶς πρὸς τὴν πύλην·
εἰς τὴν Ἐδὲμ δ' οὖν ἐκ σκότους σχὼν ὀμμάτων.
Κυκλοῦσι ταύτην τῆς Σιὼν τὰ τεκνία
καὶ πτευματικαῖς συγκροτοῦσι κυνίραις.
Εἶπω τὸ μεῖζον καὶ σκόπει μοι τὸν λόγον·
πάλιν τράπεζα μυστικὴ τοῦ Κυρίου,
καὶ τῶν μαθητῶν σύλλογος ταύτης πέριξ·
ποῦ δ' αὖ Ἰούδας ; γνῶθι τὸν τολμητίαν·
τείνει γὰρ αὐτὸς ἐκ θράσους τοὺς διακτύλους
καὶ χεῖρα βάπτει τῇ τραπέζῃ τοῦ λόγου·
ἀλλὰ δίκην δίδωσιν εὐθὺς τοῦ θράσους
οὐκ ἀγχόνῃ μέν, ἀλλ' ὅμως ἐπαξίαν.
Τί μοι τὰ πολλά, βασιλὶς ὑπνοῖ κόρας
καὶ γνῆ(σιωπᾶ(ν)· βίβλος ἀδέτω μόνον.
Προτοῦσα ταύτην εὐλόγησον δέσποτα.

Β΄] Ἐν τῷ Cod. Gr. Philol. Vindobon. 321 (ιγ΄ αἰῶνος), ἀγορασθέντι ἐν ΚΠόλει ὑπὸ τοῦ Αὐγούστου Busbec περὶ τὸ 1555, σώζονται ***διάφοροι λόγοι*** «*τοῦ ρήτορος κυροῦ Νικηφόρου τοῦ Χρυσοβέργη*». Ἐξ αὐτῶν τρεῖς, τοὺς ἑπομένους, ἐξέδωκε τῷ 1892 ὁ Μαξιμιλιανὸς Treu μετὰ σημειώσεων καὶ πινάκων.

α΄] «*Λόγος προσφωνηματικὸς . . . . Ἀλεξίῳ τῷ Κομνηνῷ . . .* (ἀναγνωσθεὶς) *κατὰ τὴν ἑορτὴν τῆς τοῦ Τιμίου Σταυροῦ ὑψώσεως*» (1202. Σεπτεμβρίου ιδ΄ Σάββατον).

β΄] «*πρὸς τὸν αὐτόν, ἀναγνωσθεὶς . . . . μετὰ παραδρομὴν οὐκ ὀλίγην τῆς ἑορτῆς τῶν Φώτων, ἐν ἔτει ,ϛψι΄, ἡμέρᾳ ε΄, ἰνδικτ. ε΄, Λόγος ρητορικὸς πρῶτος*» (1203, Ἰανουαρ. 6, ἡμέρα Κυριακή).

γ΄] «*πρὸς Ἀλέξιον τὸν Ἄγγελον . . . ἀναγνωσθεὶς ὡς ἔθος τοῖς ρήτορ-*

σεν... κατὰ τὴν ἑορτὴν τῶν ἁγίων Θεοφανείων μηνὶ Ἰανουαρίῳ, ἰνδικτ. ζ', ἔτει ς'ψιβ' (1205 Ἰανουαρ. 6 ἡμέρα τρίτη).

Μετὰ τοὺς ὡς ἄνω τρεῖς λόγους ἔπονται κατὰ σειράν :

4] *Λόγος ἐγκωμιαστικὸς εἰς τὸν ἁγιώτατον πατριάρχην κυρὸν Νικήταν τὸν Μουντανοῦ, τοῦ Χρυσοβέργη κυροῦ Νικηφόρου·*

5] *τοῦ λογιωτάτου διδασκάλου κυροῦ Νικηφόρου τοῦ Χρυσοβέργη λόγος ἐξιτήριος τῷ ἐπὶ τοῦ κανικλείου κυρῷ Κωνσταντίνῳ τῷ Μεσοποταμίτῃ·*

6] *τοῦ αὐτοῦ λόγος ρητορικὸς β' ἀναγνωσθεὶς εἰς τὸν πατριάρχην κυρὸν Ἰωάννην τὸν Καματηρὸν κατὰ τὸν ε' ἰνδικτιῶνα τοῦ ἔτους ,ςψι'·*

7] *τοῦ αὐτοῦ ἐπιστολὴ τῷ Δημητριάδος.*

8] *προγυμνάσματα διάφορα τοῦ κυροῦ Νικηφόρουυ τοῦ Χρυσοβέργη καὶ μαΐστορος τῶν ρητόρων :*

α'] *Μῦθος ὅτι ἀναγκαστικὸν τὸ φιλόζωον·* β'] *μῦθος ὅτι οὐ δεῖ ἀντιτείνειν τῇ τοῦ Κυρῶν βίᾳ·* γ'] *μῦθος ὅτι οὐδὲν τῶν καλῶν ὁ Μῶμος ἄφογον ἀφίησι·* δ'] *μῦθος ὅτι κινδυνῶδες τὸ φθονεῖν·* ε'] *διήγημα τὸ κατὰ τὸν Ἑρμογένην·* στ'] *διήγημα τὸ κατὰ τὸν Ὀδυσσέα·* ζ'] *ἠθοποιΐα, τίνας ἂν εἴποι λόγους χριστιανὸς φιλολόγος Ἰουλιανοῦ τοῦ παραβάτου κωλύοντος τὰς Ἑλληνικὰς βίβλους ἀναγινώσκειν·* η'] *μῦθος ὅτι ἀργυρόρητος τοῖς φιλαργύροις ἡ κτῆσις μὴ συνούσης τῆς χρήσεως·* θ'] *τίνας ἂν εἶπε λόγους ὁ Ἀαρών, ὅτε τοῦ Μωϋσέως ἐν τῷ ὄρει χρονίσαντος παρεχώρησε τοῖς Ἰουδαίοις ὑπ' ἐκείνων ἀναγκασθεὶς καὶ ἐμοσχοποίησαν.*

* * *

Τὰ ὑπὸ τὸ στοχεῖον Β ἀριθμούμενα ἔργα Νικηφόρου τοῦ Χρυσοβέργη εἶνε πάντως τοῦ ***Σάρδεων Νικηφόρου τοῦ Χρυσοβέργη***. Διότι καθ' ἡμᾶς ὁ ρήτωρ ἐνταῦθα Νικηφόρος ὁ Χρυσοβέργης ταυτίζεται πρὸς τὸν ἀνωτέρω ὁμώνυμον στιχουργὸν Σάρδεων Νικηφόρον τὸν Χρυσοβέργη, ἐὰν δὲ ὁ Κρουμβάχερ (Ἱστορία Βυζαντινῆς Λογοτεχνίας τόμος Β' 127) διστακτικῶς ἐκφράζεται περὶ τοῦ ταυτισμοῦ ἀμφοτέρων, ὁ λόγος ἔγκειται εἰς τὸ ὅτι εἶχεν ὑπ' ὄψει ὄχι τὸν πλήρη καὶ ἀκέραιον τίτλον τοῦ στιχουργοῦ, ἀλλὰ τὸν ἀτελῆ, τὸν ὁποῖον ἔδωκαν οἱ περιγράψαντες τοὺς Ὀττοβονιανοὺς Κώδικας Feron καὶ Battaglini. [237])

---

[237]) Codices Manuscripti gr. Ottobon. Biblioth. Vaticanae Feron et Battaglini. Romae 1893 σ. 95. — CXXVII Programm des Königl. Friedrichs. Gymnasiums zu Breslau, 1892. II. Wissenchaftliche Abhandlung Nicephori Chrysobergae ad Angelos orationes tres edidit Maximilianus Treu. — E. Miller, Catalogue des Manuscrits Grecs de l'Escurial, Paris 1848 σ. 201.—Byzantinische

XIV.

Τρεῖς ἐπιστολαὶ Θεοδώρου Δούκα τοῦ Λασκάρεως πρὸς τὸν μητροπολίτην Σάρδεων Ἀνδρόνικον. [238])

Ἐκ τῆς τρίτης ἐπιστολῆς ἀποσπῶμεν τὰ κάτωθι, μᾶλλον ἐνδιαφέροντα :

«Σὺ δὲ πότ' ἂν ἐκ τῆς Εὐρώπης ἀνέλθῃς ἐπὶ τὴν Ἑλλάδα, πότ' ἂν δὲ καὶ τὴν Θρᾴκην διελθὼν τὸν Ἑλλήσποντον διαπεράσῃς καὶ τὴν ἔσω Ἀσίαν κατίδῃς· ἐν ᾗ καὶ ἡμᾶς κατόψει, φιλούμενε, γλιχομένους προσομιλεῖν σοι τὰ συνήθη καὶ φιλικά, εἰ μή τι παρὰ τοῦ ἀέρος καὶ τῆς τοῦ κλίματος διαφορᾶς παρηλλάχθης καὶ Ἰταλικῶς διαλέγῃ καὶ ἀσυνήθως, καὶ ὁτὲ μὲν γλώσσαις βοᾷς, ὁτὲ δὲ διερμηνεύεις — τούτου γὰρ αὐτόθι, δοκῶ, πεπείρασαι — ὁτὲ δὲ καὶ τὰ τῶν ἀγγέλων ἐξαγγέλλεις μυστήρια, τὰ πόρρω τῆς ἀνθρώπων ὄντα οὐσίας· ἀλλ' εἴπερ καὶ οὕτως ὡμίλεις μεθ' ἡμῶν, στέξομέν σου τὰ βάρη· οὐ γὰρ δή που ἀγγέλλων ἐπιλαμβανόμεθ' ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβανόμεθ' ὁμοιοπαθεῖς ὄντες τῆς Ἀβραὰμ ἀσθενείας ἢ τῆς ἀγγελικῆς σύνοικοι πτώσεως· ἀλλ' ἴδοιμέν σε τάχιστα πολλοὺς ἡδονῆς λόγους ὁμιλήσοντες ὡς τὸ σύνηθες· οὐδὲν γὰρ εὐφραίνει ψυχὰς λόγῳ πεπαιδευμένας ὡς φίλων μυστήρια θεῖά τε καὶ ὑψηλὰ καὶ πόρρω τῆς ὕλης ὄντα καὶ τῆς παχύτητος».

Zeitschrift τόμ. Α' [1892] σ. 166—167.— τόμ. ΙΑ' [1902] σημειώσεις σχετικαὶ τοῦ Paul Mass ἐν τῷ ἄρθρῳ του [σελ. 505—512] «Rhythmisches zu der Kunstprosa des Konstantinos Manasses»—τόμ. ΙΕ' [1906] ἄρθρον τοῦ J. R. Asmus [σ. 125—136] «Die Ethopöie des Nikephoros Chrysoverges uber Julians Rhetorenedikt». — τόμ. ΙΣΤ' [1907] σ. 149 ἄρθρον τοῦ Paul Mass : zu Nikephoros Chrysoverges», ἀναφορικῶς πρὸς τὸ ὡς ἄνω ἄρθρον τοῦ J. R. Asmus.

[238]) Ὅρα σημ. 149 καὶ *Γεωργίου τοῦ Μετοχίτου* βιβλ. Α' ἐν Novae Patrum Bibliothecae ad A. Maïo ed τόμ. 8ος Ρώμη, 1871 σελ. 98 καὶ ἑξῆς.—Theodori Ducae Lascaris Epistulae CCXVII ed. Nicolaus Festa. Firenze 1898 σελ. 172—176. — Ὁ αὐτὸς Λάσκαρις ἐπιστέλλων πρὸς τὸν «μητροπολίτην Φιλαδελφείας καὶ ὑπέρτιμον Φωκᾶν» ἐπαλήττει αὐτὸν σημειῶν τὰ ἑξῆς : «ὁπόταν δὲ ὁ πανιερώτατος μητροπολίτης Σάρδεων ἐκ τῆς Εὐρώπης ἐπανέλθῃ πρὸς τὸ Ἑλληνικὸν καὶ τὴν πρὸς τὴν αὐτοῦ ἐκκλησίαν ἡμετέραν εὐφορίαν ζητήσῃ, οἶδ' ὅτι ἀξίως ἡμῶν καταμέμψηται καὶ τὴν τῆς ἁγιωσύνης σου ἀδελφότητα οὐκ ἀδελφὰ φρονοῦσαν εὑρήσει» [αὐτόθι σελ. 165, ὅρα καὶ Théodore II. Lascaris empereur de Nicèe par Jean Papadopoulos Paris 1908, σ. 30—31].

XV.

Ἐπίγραμμα ἐπιτάφιον εἰς τὸν Σάρδεων Θεόδωρον Γαληνόν, ὑπὸ τοῦ μαθητοῦ καὶ διαδόχου αὐτοῦ Νικηφόρου. [239])

Ὁ κείμενος τίς ὧδε; Ποιμήν, ὦ ξένε.
Χώρας ὁποίας; Λυδικῆς ἐπαρχίας
τῆς Σαρδιηνῆς τῆς δε ναὶ πρωτοστάτης.
Κλῆσιν λαβὼν τὴν τίνα; Τὴν Θεοδώρου
ἐπώνυμόν τε τῶν Γαληνῶν, ὦ ξένε.
Ὄντως Γαληνός; Ναὶ λόγοις καὶ πρακτέοις.
Θεοῦ τὸ δῶρον τοῦτο. Καὶ καλῶς λέγεις.
Ὁ δ' ἔνθεν οὗτος, ποῖος; Αὐτὸς καὶ πάλιν
μονότροπος. Πῶς; Ἐν τελευταίῳ βίῳ.
Πατρίδος οἵας; Τῆς Κωνσταντίνου, ξένε.
Γέννημα τίνων; Εὐσεβῶν γεννητόρων.
Τραφεὶς δὲ ποῦ καὶ πῶς; Ἐν εὐχαῖς Κυρίου.
Παιδιόθεν; Ναὶ καὶ καθιερωμένος.
Λόγιος οὗτος, ἀλλὰ καὶ σεμνοῦ βίου.
Ὡς ὑπέρειγε. Καί γε μακαριστέος.
Πῶς ὧδε φοιτᾷ; Προκριθεὶς ἐκ συνόδου.
Πῶς καὶ διῆξεν; Ὡς ἱερεῦσι πρέπον.
Ὅσιος οὗτος καὶ..... κία, ξένε.
Τροπαιοφόρος ἐκ μικροῦ παρεσθίων
καὶ μετριόφρων καὶ τεταπεινωμένος
πολλὰς χάριτας..... ἦν πλήρης ὅλων.
Θύσας πόσον τε..... ; Πεντάδα χρόνων,
Αἴ, αἴ, θάνατε, τίς σε φυγεῖν ἰσχύει;
Ὁ δ' ἱστορῶν τίς; Θρέμμα τοῦ τεθνηκότος.
Τροφῆς ὁποίας; Παντοδαπῆς, ὦ ξένε,
λόγων, τραπέζης, ποικίλης πανδαισίας,
τῆς γραμματικῆς καί γε τῆς τῶν ρητόρων,
τῆς ἱστορικῆς καί γε τῆς φιλοσόφου.
Κλῆσιν λαχὼν τὴν τίνα; Τὴν Νικηφόρου.
Τὴν ἀξίαν τίς; Ρητόρων πρωτοστάτης.
Καὶ νῦν ὁποῖος; Σάρδεων ἀρχιθύτης.

[239]) ὅρα σημ. 158. 159. — Τὸ ἐν λόγῳ ἐπίγραμμα εὑρηται ἐν τῷ ὑπ' ἀριθμ. 84 βομβυκίνῳ κώδικι τῆς ἐν Ἀθήναις Βιβλιοθήκης τῆς Βουλῆς φ. 25α-β. Τὰ ἐν τῷ κώδικι ἀμυδρὰ χωρία σημειοῦνται διὰ στιγμῶν.—Νέος Ἑλληνομνήμων ***Σ. Π. Λάμπρου*** τόμ. Δ' σελ. 229. 375—76.

Θρηνεῖς δὲ λοιπόν; Ἤθελον ζῶντα βλέπειν.
Διάδοχος δὲ τίνος; Ὦ τοῦ κειμένου.
Ἀλλ' ὑπερεύχου μᾶλλον ὡς χρέος τόδε.
Δοίη Θεός σοι χάριν, ἐκζητῶ, ξένε,
σωτηρίαν τε τῷδε δυσωπῶ πλέον.

XVI.

Ἐπίγραμμα ἐπιτάφιον εἰς τὸν Σάρδεων Διονύσιον ὑπὸ Νικαίας Βησσαρίωνος συνταχθέν. [240])

Pio et immortali D. Sacr.
Dionysio Thessaloniceo Sardensis Lydorum
Ecclesiae Pontif. optimo, qui è Byzantio una
Cum IΩ. Palaeologo inclyto Graecorum Imp. et
IΩseph Constantinopolitano Patriarcha
Aliis cum et plerisque senioribus Italiani
Unionis gratia synodi navigarat, et Ferrariae
Demum civitate, ubi Eugenio IV. maximo
Romanor.
Pont. œcumenica synodus consistebat.
Idid. April. supremum Dei nutu diem
obiit
Bessarion Cappadocæus Nicœnæ eeclesiae
Archiepiscopus
Necnon sacri alii Orientalis Ecclesiae Patres
Dedere.

XVII.

Α'] ***Παραμυθητικὴ ἐπιστολὴ Ἐφραὶμ Μητροπολίτου Σάρδεων πρὸς τὸν Μέγαν Λογοθέτην τῶν Πατριαρχείων Ἰωάννην Καρυοφύλλην.*** [241])

[240]) ὅρα σημ. 163.—L. Allatii in Excercitationibus contra Creyghtonum p. 61. —Le Quien A' σ. 866.

[241]) Ὁ ἀγαπητὸς κ. Δ. Ροῦσος, καθηγητὴς ἐν τῷ Πανεπιστημίῳ Βουκουρεστίου, εὑρεστήθη νὰ μοὶ ἀντιγράψῃ τὴν ἐπιστολὴν ταύτην, ἰδιόχειρον οὖσαν, ἐκ συλλογῆς ἐπιστολῶν [περὶ ἧς ὅρα Σ. Λάμπρου Ν. Ἑλληνομνήμων τόμ. Δ' [1907] σελ. 206—224], ἀποκειμένης σήμερον ἄνευ ἀριθμοῦ ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Βουκουρεστίῳ Ρουμανικῆς Ἀκαδημίας. Ἀντιγράφει δὲ πιστῶς, διὸ καὶ τὰ ὀλίγα λάθη αὐτῆς ἀφίενται ὡς ἔχουσι. Ἐν τῇ ἐπιστολῇ ταύτῃ πρόκειται περὶ τοῦ θανάτου τῶν δύο υἱῶν τοῦ Καρυοφύλλη, τοῦ Μανωλάκη δηλ. ἀποθανόντος κατὰ τὸ 1688 καὶ τοῦ Ἀνδρονίκου ἀποθανόντος τὸ 1690.— Ὅρα καὶ σημ. 169.

SISMANOGLIO MEGARO

Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ ἐν διδασκάλοις, ἐνδοξωτάτῳ ἐν κληρικοῖς, καὶ εὐγενεστάτῳ ἐν ἄρχουσι, κυρίῳ κυρίῳ Ἰωάννῃ Καρυοφύλλῳ, καὶ μεγάλῳ λογοθέτῃ τῆς μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας τὴν εὐλογίαν παρὰ Θεοῦ.

Οὐκ ἔχω λέγειν, σοφώτατε ἀνδρῶν ἁπάντων, τὸ ποσὸν τῆς λύπης (εἰ ἀληθὲς) περὶ τῆς ἀποβιώσεως τῶν σοφωτάτων καὶ ἐμοὶ φιλτάτων σου τέκνων. ἐπλήγην ἀκοντισθεὶς τὴν καρδίαν. καὶ τοσοῦτον πληγεὶς ὥστε ἐκ τοῦ ἐνιαίου τῆς καρδίας διττοὺς ἐκ τῶν ὀμμάτων ἀναβλῦσαι ποταμούς. ὁ μὲν διὰ τὴν ἀκαιρίαν τοῦ θανάτου, ἀποκοπέντες ὡς κλάδοι ἐαρινοί· ὁ δὲ διὰ τὸ ὑπερβάλλον τῆς πατρικῆς λύπης. φεῦ τῆς παρὰ καιρὸν ἀποδημίας. τί δεινότερον πατρικῆς πρὸς παῖδας στερήσεως. ἀλλ' οὖν σοφῶν ἄριστε, λῆγε τῆς λύπης. οὐκ ἀπόλεσας· πολλῷ μᾶλλον ἐκέρδησας τὸν πλοῦτον τῆς τοῦ Ἰὼβ ἀδαμαντίνου ψυχῆς. ὄψῃ γάρ ποτε τούτους, ἐν τοῖς ἀπεράντοις αἰῶσιν ἐνδόξους, καὶ λελαμπρυσμένους τῇ αἴγλῃ τῆς ἀφθαρσίας (ὡς οἶδας). ἔτι δὲ καὶ φήμη τὶς ἄλλη κατέπληξε μου τὰς ἀκοάς, ὅτι παρὰ τῶν ἐναντίων ὑπέστης δεινά. καὶ ἐμνήσθην τοῦ μόνου σοφοῦ Σωκράτους. καὶ βασκανίας Ἀθηναίων. μᾶλλον δὲ τοῦ λέγοντος μακάριοι ἔσται, ὅταν ὀνειδίσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ἐκβάλλουσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν. ὅτι πολὺς ὁ μισθὸς ὑπόκειται ἐν τοῖς οὐρανοῖς. πολλὰ συνέβη καὶ ἐπ' ἐμοὶ τὰ δεινά, δέδωκα κἀγὼ τὴν κόρην ἣν εἶπον σοι, εἰς γάμον· μετὰ χιλιάδων ἱκανῶν, καὶ εἰς διάστημα ἑκκαίδεκα μηνῶν, μεταστᾶσα τῶν γηΐνων, καταλείψασα καὶ τέκνον. ἀπεστερήθην, οὐ μόνον, τῆς παιδός, ἀλλὰ καὶ τῆς περιουσίας. καὶ νῦν παροικῶ ἐνθάδε, συστήσας γυμνάσιον, χάριτι τῶν κρατούντων ἱδρῶτι πολλῷ, ὥστε εἰς διάστημα χρόνων τριῶν, ἐκ τῶν ἱερωμένων, ἱεροκήρυκας ἀναδεῖξαι. οὐ παύω καθ' ἑκάστην, διδάσκων αὐτούς, τήν τε εὐσέβειαν καὶ τὴν τῶν ἔξω σοφίαν, ποτὲ διὰ λόγου, ποτὲ καὶ δι' ἐπιστολῶν. ἀμάθεια γὰρ κατέχει τὸν λαόν, μάλιστα τὸ ἱερατεῖον. καὶ ὁ Θεὸς ὁ σοφίσας τὰ ἔθνη δώσοι καὶ τούτοις τὰ πρὸς ὠφέλειαν. εὔχομαι καὶ εὐλογῶ πάντας τοὺς κατ' οἶκον. ὑμῖν μὲν τὸ θεῖον παρέξοι εὐζωΐαν ἄνοσον καὶ νίκην κατὰ τῶν ἐναντίων. τοῖς δ' ἀπελθοῦσι τὴν διαμένουσαν ζωήν. καὶ ἔρρωσο, σοφῶν ἔξοχε, καὶ τῶν ὀρθοδόξων κλέος ἀθάνατον.

κατὰ τὸ αχ[ι]βον ἀπὸ Θεογονίας. † ὁ *Σάρδεων Ἐφραίμ.*

[ἐπανωγραφὴ]

† *Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ*
κυρίῳ κυρίῳ Ἰωάννῃ τῷ
Καρυοφύλλῳ, τῷ μεγάλῳ Λογοθέτῃ
τῆς μεγάλης ἐκκλησίας
ἀξίως καὶ ἐντίμως ἐγχειρισθείη.

Κωνσταντινούπολιν.

Β'] «***Περὶ διαφόρων ποιημάτων ἔκδοσις παρὰ τοῦ ταπεινοῦ Μητροπολίτου Σάρδεων Ἐφραὶμ τοῦ δεκάρχου καὶ κρητός***».

Οὕτως ἐπιγράφεται ποίημα τοῦ Σάρδεων Ἐφραὶμ εὑρισκόμενον ἐν τῷ ὑπ' ἀριθμ. 139 κώδικι τῶν χειρογράφων τῆς ἐν Χάλκῃ Ἱ. Θεολογικῆς Σχολῆς (φ. 140^{α} — φ. 143^{β}). Τὸ «*προοίμιον*» τοῦ ἔργου τούτου διαιρούμενον εἰς δέκα *κεφάλαια* ἔχει ὧδε :

«Ἡ ποιητική, τὸ μέγα τῆς Καλλιόπης ἐντρύφημα, τοῦ Φοίβου Ἀπόλλωνος τὸ ἡδύτατον βάρβιτον, Ὁμήρου ἡ ἀθάνατος ἐπωνυμία, Πινδάρου ἡ θελξίνοος φόρμιγξ καὶ τῆς ἁπάσης Ἑλλάδος ἡ ἀθάνατος κορωνίς, ἡ τὸ χαρίεν παρέχουσα τοῖς κωμικοῖς καὶ τὸ δακρυχέον τοῖς τραγικοῖς, ἡ τῶν ἡρώων ἀρδεύουσα τὰς ἀριστείας καὶ τὸ εὔρυθμον δεικνύουσα τοῖς φιλοπόνοις· ἀλλὰ τί λέγω ; διὰ ταύτης γὰρ καὶ τῆς Ἐκκλησίας ἡμῶν μυστικοὶ τέττιγες τὰς ἀκοὰς τῶν πιστῶν καταθέλγουσι. Δέξασθε οὖν, ὦ τῶν μουσῶν ἐρασταί, τὸ παρὸν ὡς τὸ τοῦ ὅλου προοίμιον καί, εἰ τὸ θεῖον ἡμῖν καὶ εἰσέτι τὸ ζῆν παρέξῃ, καὶ τὰ περὶ ταύτης κατὰ πλάτος διδάξομεν ὑμᾶς· Ἔρρωσθε».

Κεφ. α'.—Περὶ τοῦ ὅσα ἐν τέλει λέξεως μακρὰ λαμβάνονται βραχέα ἐν τοῖς ποιήμασι. — *Κεφ. β'.* — Περὶ διχρόνων φωνηέντων ἀεὶ μακρῶν καὶ περὶ τῶν αὐτῶν βραχυνομένων. — *Κεφ. γ'.*—Περὶ ποδῶν. — *Κεφ. δ'.* —Περὶ διαθέσεων τῶν ἰαμβικῶν στίχων. — *Κεφ. ε'.*—Περὶ ποδῶν πευστικῶς. — *Κεφ. ς'.* — Περὶ τῶν ἰάμβων. — *Κεφ. ζ'.*—Περὶ ἀνακρεοντείου μέτρου.—*Κεφ. η'.* — Περὶ ἐλεγείου μέτρου. — *Κεφ. θ'.*—Περὶ τοῦ ἡρωϊκοῦ μέτρου. — *Κεφ. ι'.*—Περὶ διαιρέσεως τῶν κώλων.

Μετὰ τὸ τέλος σημειοῦται ἐν τῷ κώδικι : «*Σάρδεων Εὐφραΐμου τό δε καὶ ἀρχιθύτου, ὦ τῶν ἀγγελίης θείης κήρυκος εὐσεβέων*» αψκζ' Μαρτίου κδ', ἐν Φιλιππουπόλει εἰς τὴν Μητρόπολιν». Πρόκειται πάντως περὶ σημειώσεως τοῦ ἀντιγραφέως.

XVIII.

Ὑπόμνημα ἐκλογῆς τοῦ Μητροπολίτου Σάρδεων Νικοδήμου. [242])

«Τῆς ἁγίας Μητροπόλεως Σάρδεων πρὸ ἀμνημονεύτων χρόνων ἐρημωθείσης καὶ γυμνὸν ὄνομα μόνον μητροπόλεως ἐγκαταλειφθείσης, καὶ ἀκολούθως μήτε ἀρχιερέως εἰς ὄνομα αὐτῆς προβιβασθέντος μέχρι τοῦδε, ἡμεῖς οἱ ἐνταῦθα ἐν Κωνσταντινουπόλει παρευρεθέντες ἀρχιερεῖς, προτροπῇ καὶ ἀδείᾳ τοῦ Παναγιωτάτου καὶ Σεβασμιωτάτου ἡμῶν Αὐθέντου καὶ Δεσπότου, τοῦ Οἰκουμενικοῦ Πατριάρχου κυρίου κυρίου Κυρίλλου,

---

[242]) ὅρα σημ. 170.—Κῶδιξ ὑπομνημάτων ἐν τῷ Ἀρχειοφυλακείῳ τοῦ Οἰκουμενικοῦ Πατριαρχείου ὑπὸ στοιχ. Δ' σελ. 135.

συνεισελθόντες ἐν τῷ πανσέπτῳ Πατριαρχικῷ ναῷ τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου καὶ ψήφους κανονικὰς προβαλόμενοι ἤδη εἰς εὕρεσιν καὶ ἐκλογὴν ἀξίου καὶ ἁρμοδίου προσώπου τοῦ ἀναδεξομένου τὴν ἀρχιερατικὴν ἐπωνυμίαν τῆς Μητροπόλεως ταύτης, πρῶτον μὲν ἐθέμεθα τὸν πανοσιώτατον ἐν ἱερομονάχοις κὺρ Νικόδημον, δεύτερον δὲ τὸν ὁσιώτατον ἱερομόναχον κὺρ Μακάριον καὶ τρίτον τὸν ὁσιώτατον ἱερομόναχον κὺρ Ἀγάπιον, ὧν τὰ ὀνόματα κατεστρώθησαν ἐν τῷ δε τῷ ἱερῷ κώδικι τῆς Ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας.

αψμθ′ Δεκεμβρίου
Ἰνδικτιῶνος ιγ′.

† *ὁ Κρήτης Γεράσιμος* ἔχων καὶ τὰς γνώμας τοῦ *Καισαρείας κὺρ Παρθενίου*, τοῦ *Λέρκων κὺρ Σαμουήλ*, τοῦ *Λαρίσσης κὺρ Ἰακώβου*.

† *ὁ Μιτυλήνης Ἄνθιμος* ἔχων καὶ τὴν γνώμην τοῦ ἁγίου *Φιλίππων* καὶ *Δράμας κὺρ Καλλινίκου*.

† *ὁ Μηθύμνης Ἀρσένιος* ἔχων καὶ τὴν γνώμην τοῦ *Τυρνόβου κὺρ Ἀνθίμου*.

† *ὁ Γάνου καὶ Χώρας Νεόφυτος* ἔχων καὶ τὴν γνώμην τοῦ ἁγίου *Νικαίας κὺρ Καλλινίκου*.

† *ὁ Προικοννήσου Νικηφόρος* ἔχων καὶ τὰς γνώμας τοῦ τε ἁγίου *Κυζίκου κυρίου Ἀνανίου* καὶ τοῦ ἁγίου *Νικομηδείας κυρίου Γαβριήλ*.

XIX.

Δύο γράμματα τοῦ Σάρδεων Τιμοθέου πρὸς τὴν Κοινότητα Βιέννης, (ἀχρονολόγητα) [243]).

Α′.

Εὐγενεστάτη Κοινότης, τέκνα μοι ἐν Κυρίῳ ἀγαπητά, χάρις ὑμῖν καὶ εὐλογία παρὰ Θεοῦ παντοκράτορος.

Ἀποβλέποντας εἰς τὰ φιλόπτωχα καὶ φιλελεήμονά σας σπλάγχνα ἐλεήσας καὶ ἐλπίζω πάντοτε ἔλεος καὶ βοήθειάν σας, καὶ μάλιστα εἰς τοὺς

[243]) ὅρα σημ. 171.—Ἄγνωστον πότε καὶ διὰ τίνας λόγους ὁ Σάρδεων Τιμόθεος κατέφυγεν εἰς Βιέννην. Περὶ αὐτοῦ γράφει τῇ κοινότητι Βιέννης [ὑπὸ ἡμερ. 3 Μαρτίου 1817] ὀθωμανός τις, Σουλεϊμὰν καλούμενος, παρακαλῶν θερμῶς ταύτην, ὅπως διὰ τελευταίαν φορὰν ἐλεήσῃ τὸν ἐν λόγῳ ἀρχιερέα καὶ παράσχῃ αὐτῷ τὰ ἀναγκαῖα ἔξοδα ἵνα ἀπέλθῃ εἰς Βενετίαν, διότι, λέγει, ἐντρέπεται νὰ βλέπῃ τοῦτον ρυπαρὸν καὶ ἐξευτελισμένον περιερχόμενον τὰ καφενεῖα τῆς Βιέννης μετὰ τῆς ἀδελφῆς του καὶ ἐπαιτοῦντα. (***Σωφρονίου Εὐστρατιάδου Λεοντοπόλεως,*** ὁ ἐν Βιέννῃ ναὸς τοῦ ἁγίου Γεωργίου καὶ ἡ κοινότης τῶν Ἑλλήνων Ὀθωμανῶν ὑπηκόων. Ἐν Ἀλεξανδρείᾳ, 1913. σελ. 256-57).

τωρινοὺς δυστύχους καιροὺς ὁποῦ ὁ δυστυχὴς στεροῦμαι καὶ αὐτὸν τὸν ἐπιούσιον ἄρτον, καὶ τὸ χείριστον εἶναι τοῦτο ὁποῦ δὲν εἶμαι μοναχός, ἀλλὰ ἔχω καὶ κοντά μου καὶ ἄλλας ψυχὰς διὰ νὰ θρέψω· καθὼς εἶναι ἡ δυστυχίαις ἔχω ἀδελφὴ μὲ δύο ἀνήλικα τέκνα της, τὰ ὁποῖα κρέμονται εἰς τὸν λαιμόν μου διὰ νὰ τοὺς θρέψω καὶ προσμένουν τὴν ζωοτροφίαν τους ἀπὸ ἐμένα τὸν δυστυχῆ γέροντα καὶ πτωχὸν ἀρχιερέα. Πιστεύσατέ με οὔτε φόλα δὲν ἔχω, τέκνα μου ἐν Κυρίῳ, ἔλεος κάμετε διὰ τὸν Θεὸν καὶ βοηθήσατέ με διὰ νὰ μὴ χαθῶ ὁ πτωχὸς ἀρχιερεὺς ἀπὸ κρύον καὶ ἀπὸ πεῖνα, καὶ ὁ Θεὸς θέλει σᾶς τὸ ἀνταποδώσει ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι· καὶ μένω

τῆς ἐντιμότητός σας
πρὸς Θεὸν διάπυρος εὐχέτης
✣ *ὁ Σάρδεων Τιμόθεος ὁ Μολόχας.*

Β′.

Πρὸς τὴν τιμιωτάτην Ἀδελφότητα τῆς ἐν Βιέννῃ Καπέλλης τῶν Ρωμαιωτῶν, οὓς καὶ εὐχετικῶς κατασπαζόμενος παρακαλῶ διὰ τὴν ἀγάπην τοῦ φιλελεήμονος Θεοῦ.

Ἡ δεινὴ καὶ πέρα δεινῆς ἀνάγκη ἀπὸ τὴν ὁποίαν δεινῶς τε καὶ τυραννικῶς βασανίζομαι εἰς τὰ πολύμοχθα ἤδη καὶ ταλαίπωρα γηρατεῖα κατέχομαι, μὲ ἀναγκάζει καὶ ἄκοντα νὰ γίνω πάλιν ὀχληρὸς εἰς τὴν τιμιότητά σας, παρακαλῶντας σας διὰ τὸν Κύριον νὰ μὴ μὲ παραβλέψητε ἱκετεύοντα, ἀλλὰ νὰ μὲ βοηθήσητε εἰς αὐτὴν τὴν κατέχουσάν με δεινὴν ἀνάγκην (διὰ τὴν ὁποίαν ὑστεροῦμαι καὶ αὐτῶν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων) μὲ ὅ,τι ἡ σύνεσίς σας ἤθελε κρίνητε καὶ εὕρῃ εὔλογον. Ἐγὼ δὲ πάλιν ὁ ἁμαρτωλὸς καὶ ἱκέτης σας θέλω παρακαλεῖ κατὰ χρέος τὸν φιλελεήμονα Θεὸν διὰ νὰ εὐλογῇ ὅλα τὰ τῆς πραγματείας σας ἐπιχειρήματα. Μένω ζητῶντας πάλιν συγγνώμην διὰ τὴν ἐξ ἀνάγκης ἐνόχλησιν.

Ὁ διάπυρος καὶ θερμότατός σας πρὸς Θεὸν ἱκέτης
καὶ ἀρχιερεὺς
✣ *Σάρδεων Τιμόθεος Μολόχας.*

XX.

Γράμμα τοῦ Σάρδεων Βαρθολομαίου πρὸς τὴν Κοινότητα Βιέννης, (ἀχρονολόγητον) [244]).

Τιμιωτάτη καὶ εὐγενεστάτη Δωδεκὰς τῶν ἐν Βιέννῃ φιλτάτων μοι ὁμογενῶν.

Καταπολεμουμένου τοῦ γηρατείου μου πανταχόθεν ἀπὸ δυστυχίαις,

[244]) Ποῦ καὶ πότε ἐξήσκησεν ἐνεργὰ ἀρχιερατικὰ καθήκοντα ὁ «***Ἀρχιεπίσκο-***

ποῦ ἄρα ἠμπορῶ καταφυγὼν νὰ ζητήσω ἄσυλον εἰς τὰ δεινά μου καὶ τὴν ἀνήκουσαν ὑπεράσπισιν εἰς τὴν ἀξιοδάκρυτον κατάστασίν μου, εἰ μὴ εἰς τὴν ὑμετέραν γενναιότητα καὶ εὐσπλαγχνίαν; ἡμῶν γὰρ τῶν Ἑλλήνων τε καὶ Ρωμαίων ἴδιον καὶ πατροπαράδοτος ἀρετὴ εἶνε ἐκείνη ἡ τῆς ὑπερασπίσεως καὶ συνδρομῆς καὶ μάλιστα πρὸς ἕναν τοιοῦτον προβεβηκότα τῇ ἡλικίᾳ καὶ ἐνδεῆ ἀχιερέα τοῦ χριστιανικοῦ ἡμῶν ἐπαγγέλματος, ὅστις ὄχι μόνον ὑστερεῖται τῶν ἀναγκαίων, ἀλλὰ καὶ χρεωστεῖ εἰς διαφόρους ξένους Γένους τε καὶ Ἐκκλησίας, οἵτινες εὐσπλαγχνιζόμενοι τὸ γῆρας μας καὶ τὸ ἐπάγγελμά μου μὲ ἐβοήθησαν δανείζοντάς μοι ἀρκετὴν ποσότητα, οἱ ὁποῖοι προσμένουν μὲ εὐγένειαν ψυχῆς τὴν ἀποπλήρωσιν τοῦ δικαίου των. Ὁ καθεὶς ἐξ ὑμῶν, φίλτατα τέκνα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, ἔχει βέβαια τὴν δικαίαν καὶ ἀληθινὴν ἰδέαν περὶ τῆς καταστάσεώς μου, τοὐτέστιν ὅτι ἔχω μίαν ἐτήσιον πληρωμὴν παρὰ μὲν τοῦ αὐτοκράτορος Ἀλεξάνδρου 100 φλωρία (ἄτινα μέχρι τῆς ὥρας ὅμως δὲν ἔλαβον) παρὰ δὲ τοῦ αὐτοκράτορος τῆς Αὐστρίας φιορίνια 800 χαρτία, τὰ ὁποῖα μὲν τὰ λαμβάνω μηνιαίως ἀνὰ φιορίνια 66· κατὰ τὴν γνωστὴν ὅμως ἀκρίβειαν τῶν ζωοτροφιῶν βέβαια ἤθελα πρὸ πολλοῦ λιμοκτονήσει σὺν τῇ παρ' ἐμοὶ εὑρισκομένῃ ἀσθενῇ ἀδελφῇ μου ἄνευ τῆς μερικῆς βοηθείας τῶν χριστιανικωτάτων καὶ φιλτάτων μοι ὁμογενῶν. Φίλτατοί μοι ὁμογενεῖς! τὰς τρικυμίας τοῦ ἀθλίου μου τούτου βίου μὴν ἠμπορῶντας πλέον εἰς ξένην γῆν νὰ ἀντιπαλαίσω ἀπεφάσισα νὰ καταφύγω εἰς τὰς μητρικὰς ἀγκάλας τῆς πατρίδος μου Ἑλλάδος, καὶ ἐκεῖ νὰ τελειώσω μεταξὺ τῶν ὁμογενῶν μου τὸ ὀλίγον διάστημα τῆς ζωῆς, ὅπου τὸ θεῖον ἤθελεν εὐδοκήσει· ἐπειδὴ δὲ καὶ εἰς ἐκτέλεσιν τούτου τοῦ σκοποῦ μου ὑστεροῦμαι ὄχι μόνον τὰ ἀναγκαῖα τῆς ὁδοιπορίας μου, ἀλλὰ εἶμαι καὶ ὡς εἶπον ὑπόχρεως νὰ πληρώσω καὶ μερικὰ ἄσπρα ὅπου ἐδανείσθην, προσδράμω εἰς τὴν ὑμετέραν φιλανθρωπίαν καὶ γενναιότητα, ὄντας πλέον παρὰ βέβαιος ὅτι ἐμβλέψαντες ἐλέῳ ὄμματι θέλετε εὐσπλαγχνισθῇ τὰ δυστυχῆ γερατεῖα ἑνὸς ὁμογενοῦς καὶ ἀρχιερέως τῆς ἡμετέρας

πος Σάρδεων Βαρθολομαῖος», ὡς ὑπογράφεται, ἄγνωστον. Ἴσως ἀνέλαβε διακονίαν τινὰ ἐν Ρωσσίᾳ ἢ ἐν Αὐστρίᾳ παρὰ τοῖς ἐκεῖ ὀρθοδόξοις, καὶ οὕτως δύναταί πως νὰ ἐξηγηθῇ ἡ ὑπὸ τοῦ ἰδίου παρεχομένη πληροφορία περὶ βοηθείας αὐτοῦ ἀπό μέρους τοῦ αὐτοκράτορος [τῆς Ρωσίας] Ἀλεξάνδρου [πάντως τοῦ Α' 1801-1825] καὶ τοῦ αὐτοκράτορος τῆς Αὐστρίας [πάντως Φραγκίσκου τοῦ Α', 1792-1835], χωρὶς ὅμως καὶ νὰ ἀποκλείηται καὶ ἡ ἐν Μολδοβλαχίᾳ ἀρχιερατικὴ διακονία αὐτοῦ. Τὸ βέβαιον εἶνε ὅτι, καὶ ὁ ἱεράρχης οὗτος, σύγχρονος παρουσιαζόμενος τοῦ Σάρδεων Τιμοθέου καὶ ὅμοιος αὐτῷ κατά τε τὴν πτωχείαν καὶ τὰς ἄλλας πρὸς τοὺς οἰκείους αὐτοῦ ὑποχρεώσεις, κατέφυγεν ἐπίσης εἰς Βιέννην ἐκλιπαρῶν τὴν ὑλικὴν βοήθειαν τῆς ἐκεῖ κοινότητος (*Σωφρονίου Μητροπολίτου Λεοντοπόλεως*, ὁ ἐν Βιέννῃ ναὸς τοῦ ἁγίου Γεωργίου κλπ. ὡς ἀνωτέρω σελ. 257-8).

ὀρθοδόξου Ἐκκλησίας τοῦ Ἰησοῦ Χριστοῦ καὶ θέλετε μὲ βοηθήσει εἰς ἐκτέλεσιν τοῦ εἰρημένου σκοποῦ τῆς σωτηρίας μου· αὐτὸς γὰρ ὁ μισθαποδότης θέλει σᾶς τὰ ἀποδώσῃ μυριοπλάσια, κατὰ τὸν λόγον τῆς θείας καὶ ἐκκλησιαστικῆς του φωνῆς, ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ.

Τῆς ὑμετέρας εὐγενεστάτης ἀδελφότητος
ὁ πρὸς Θεὸν μέχρι τελευταίας ἀναπνοῆς εὐχέτης
† *Βαρθολομαῖος ἀρχιεπίσκοπος Σάρδεων.*

XXI.

Ἐπιγραφαὶ ἀναφερόμεναι εἰς τὸν Σάρδεων Νεκτάριον Θωμαΐδην. [245])

Α'] *Ἐπὶ πλευρᾶς τῆς ἱ. μονῆς Πάτμου ἀναγινώσκεται αὕτη:*

ΤΟΥ ΠΑΝΙΕΡΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ
ΚΥΡΟΥ ΝΕΚΤΑΡΙΟΥ ΤΟΥ ΠΑΤΜΙΟΥ ΤΟΥ ΕΚ ΤΩΝ
ΘΩΜΑΪΔΩΝ
ΕΥΓΕΝΗΣ ΣΑΡΔΕΩΝ ΝΕΚΤΑΡΙΟΣ, ΕΥΧΟΣ ΚΕΝ ΟΣΣΟΝ
ΤΗ ΜΟΝ ΕΩΝ ΙΕΡΗ, ΒΑΘΡΩΝ ΑΠΟ ΔΩΜΑΤΑ ΤΑΔΕ
ΙΔΙΑΙΣ ΔΟΙΜΑΤΟ ΔΑΠΑΝΗΣΙΝ ΑΓΑΛΑ, ΕΦ' ΩΤΟΙ
ΠΡΟΤΤΙ ΒΡΟΝΤΗΣ ΠΑΙΔΑ ΦΗΝΑΙ Ο ΣΕΒΑΣ ΚΡΑΔΗΣΦΙ
Σ' ΩΕΣΚΕΝ. Ω ΘΕΟΣ ΟΥΑΥΜΠΑ ΤΕ ΔΩΜΑΤΑ ΟΠΑΣΑΙ,
ΗΜΑΤ' ΕΠ' ΗΜΑΣΙ ΠΟΛΛΑ ΑΥ ΛΥΚΑΒΑΝΤΑΣ ΠΡΟΣΘΗΣΑΙ
ΕΠ' ΕΤΟΥΣ, ΑΩΣΤ® ΜΗΝΟΣ ΤΕ ΙΟΥΝΙΟΥ. Α.

Β'] *Ἐπὶ Εὐαγγελίου δωρηθέντος τῇ ἱ. μονῇ αὕτη:*

«Τὸ παρὸν ἀφιεροῦται παρ' ἐμοῦ τοῦ Νεκταρίου ἀρχιερέως Πατμίου εἰς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον, ἀλλ' ἄν τις κατὰ συνεργείαν διαβόλου ἤθελε τὸ ἀποσπάσῃ, νὰ ἔχῃ τὴν κατάραν του καὶ τὴν κατάραν ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι».

Γ'] *Ἐπὶ ποιμαντορικῆς ῥάβδου ἐν τῇ ἱ. μονῇ σώζεται αὕτη:*
«Νεκταρίου ἀρχιερέως Σάρδεων Πατμίου 1803».

Δ'] *Ἐπὶ τοῦ εἰκονοστασίου τῆς ἱ. μονῆς αὕτη:*

«Διὰ δαπάνης τοῦ πανιερω/τάτου Μητροπο/λίτου ἁγίου Σάρδ/εων κυροῦ Νεκτ/αρίου τοῦ Πατμίου τοῦ / ἐκ τῶν Θωμαϊδῶν / ἐπὶ ἔτους ,αωκ (1820)».

Σημ. — Ἡ εἰκὼν τοῦ ἐν λόγῳ ἱεράρχου περιεσώθη ἐν τῇ ἱ. Μονῇ.

---

[245]) ὅρα σημ. 172. — ***Περικλέους Ζερλέντου*** ἱστορ. ἔρευναι περὶ τῆς ἐκκλησίας τῶν νήσων τῆς Ἀνατολικῆς Μεσογείου θαλάσσης τόμ. Α' [1922] σ. 215. — ***Γ. Λαμπάκη*** ὡς ἀλλαχοῦ σ. 346—47.

XXII.

Α'] *Ὑπόμνημα ἐκλογῆς τοῦ Μητροπολίτου Σάρδεων Μιχαὴλ Κλεοβούλου.* 246)

† ΙΩΑΚΕΙΜ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Εἴθισται τῇ καθ' ἡμᾶς Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ἐκ παλαιοῦ τοὺς ἀξίους καὶ βίῳ ἀμέμπτῳ καὶ παιδείᾳ τῇ κατὰ Χριστὸν διακρινομένους καὶ διακονίαις ταῖς ἐν αὐτῇ δεδοκιμασμένους ἀμείβειν ἐπαξίοις ταῖς ἀμοιβαῖς καὶ ἀξιοζήλοις προάγειν τοῖς ἱεροῖς ἀξιώμασι πρὸς μείζονα καὶ αὖθις τὴν οἰκοδομὴν τῶν πιστῶν καὶ τὴν ἐν τῇ ἐκκλησίᾳ ὠφέλειαν. Οὕτω δὴ καὶ νῦν τοῦ Παναγιωτάτου καὶ Σεβασμιωτάτου ἡμῶν Αὐθέντου καὶ Δεσπότου τοῦ Οἰκουμενικοῦ Πατριάρχου κυρίου Ἰωακεὶμ προκαθημένου συνοδικῶς, προβαλομένου δὲ καὶ προτείναντος ὡς τιμῆς ὄντως ἄξιον καὶ προαγωγῆς εἰς τὸ τῆς ἀρχιερωσύνης ὑψηλὸν ἀξίωμα τὸν Πανοσιολογιώτατον Ἀρχιμανδρίτην κύριον Μιχαὴλ ὁμοθύμως ἡμεῖς τὴν προβολὴν ταύτην καὶ πρότασιν ὡς δικαίαν καὶ εὔλογον οὖσαν ἀποδεξάμενοι καὶ συναποφηνάμενοι τιμηθῆναι τὸν διαληφθέντα ἀρχιμανδρίτην τῇ προσηγορίᾳ τῆς πάλαι ποτὲ διαλαμψάσης ἁγιωτάτης Μητροπόλεως Σάρδεων, τῇ ἀρχαίᾳ δ' ἑπόμενοι κανονικῇ τάξει συνεψηφίσθημεν τὸν Πανοσιολογιώτατον Ἀρχιμανδρίτην κύριον Καλλίνικον καὶ τὸν Πανοσιολογιώτατον Ἀρχιμανδρίτην κύριον Ἰωάννην. Τῇ προτροπῇ δὲ καὶ ἀδείᾳ τῆς Α. Θειοτάτης Παναγιότητος, κατελθόντες ἐν τῷ πανσέπτῳ Πατριαρχικῷ ναῷ τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου καὶ τῇ ἐπικλήσει τοῦ Παναγίου Πνεύματος τὰς κανονικὰς ποιησάμενοι ψήφους ἐξελεξάμεθα ἐπὶ τὸ χειροτονηθῆναι κανονικῶς ἀρχιερέα καὶ Μητροπολίτην ἐπὶ ψιλῷ ὀνόματι τῆς πάλαι ποτὲ διαλαμψάσης ἁγιωτάτης Μητροπόλεως Σάρδεων τὸν Πανοσιολογιώτατον Ἀρχιμανδρίτην κύριον Μιχαὴλ τὸν καὶ Σχολάρχην τῆς Πατριαρχικῆς Μεγάλης τοῦ Γένους Σχολῆς. Ἐφ' ᾧ καὶ εἰς διηνεκῆ ἔνδειξιν καὶ μόνιμον παράστασιν καὶ ἡ παροῦσα ἐγένετο Πρᾶξις καταστρωθεῖσα ἐν τῷ δε τῷ ἱερῷ Κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας. Ἔν ἔτει σωτηρίῳ χιλιοστῷ ἐννεακοσιοστῷ πρώτῳ κατὰ μῆνα Ἰούλιον (12), Ἐπινεμήσεως [ιδ'].
† *ὁ Ἀδριανουπόλεως Κύριλλος* — † *ὁ Ἀμασείας Ἄνθιμος* — † *ὁ Ἰωαννίνων Γρηγόριος* — † *ὁ Προύσης Ναθαναὴλ* — † *ὁ Μηθύμνης Στέφανος* — † *ὁ Μεσημβρίας Χαρίτων* — † *ὁ Βάρνης Πολύκαρπος* — † *ὁ Χίου Κωνσταντῖνος* — † *ὁ Κορυτσᾶς Γερβάσιος* — † *ὁ Γρεβενῶν Ἰωρόθεος* — † *ὁ Λέρου καὶ Καλύμνου Ἰωάννης.*

---

216) ὅρα σημ. 175.—Κῶδιξ ὑπομνημάτων τοῦ Πατριαρχικοῦ Ἀρχειοφυλακίου.

Β'] *Ἐπίγραμμα ἐπιτάφιον εἰς τὸν αὐτόν·*

Ἐπὶ τῆς μαρμαρίνης ἐπιταφίου πλακός, ἐχούσης ἐν τῷ μέσῳ σταυρόν, φέρεται ἄνωθεν ἡ ἑξῆς ἐπιγραφή :

«*Ἡ ἱερὰ Θεολογικὴ Σχολὴ καὶ ἡ Μεγάλη τοῦ Γένους Σχολὴ εὐγνωμονοῦσαι*»

κάτωθεν :

«*Τῷ Μητροπολίτῃ Σάρδεων Μιχαὴλ Κλεοβούλῳ*
οἱ εὐγνωμονοῦντες αὐτῷ μαθηταί, οἱ συνάδελφοι, φίλοι καὶ θαυμασταί»

καὶ εὐθὺς ἀμέσως :

«*Εὐσεβίης ἀρετῆς τε ταμεῖον ἔγεντο ἁπάσης*
ἡ πολιόθριξ φρὴν Σάρδεων τοῦ Μιχαήλ,
ὃς σοφίην Ῥοδίου Κλεοβούλου ἐπώνυμον ἔσχε
καὶ βαθύβουλος ἐών, ἦν μέγας ἐν μεγάλοις»

Σημ.—Ἡ εἰκὼν τοῦ ἀοιδίμου ἱεράρχου εὕρηται ἀνηρτημένη ἐν τῷ Διευθυντηρίῳ τῆς Μ. τοῦ Γένους Σχολῆς.

XXIII.

Α'] *Ὑπόμνημα ἐκλογῆς Μητροπολίτου Σάρδεων Γερμανοῦ Ἀθανασιάδου.* 247]

† ΓΡΗΓΟΡΙΟΣ, ἐλέῳ Θεοῦ, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης

«Τῆς παλαιφάτου Ἀποστολικῆς Ἐκκλησίας καὶ Ἁγιωτάτης Μητροπόλεως Σάρδεων, ἀποφάσει Πατριαρχικῇ καὶ Συνοδικῇ, ἀποκαταστάσης καὶ αὖθις εἰς τὴν τάξιν τῶν ἐν ἐνεργείᾳ Μητροπόλεων τοῦ Ἁγιωτάτου Ἀποστολικοῦ καὶ Πατριαρχικοῦ Οἰκουμενικοῦ Θρόνου καὶ ἀναγραφείσης ἐν τῷ τῶν ἐν ἐνεργείᾳ ἐπαρχιῶν Συνταγματίῳ, ἡμεῖς οἱ τὴν Ἱερὰν Σύνοδον συγκροτοῦντες ἀρχιερεῖς, μετὰ τὴν γενομένην συνοδικῶς σκέψιν περὶ ἐκλογῆς τοῦ ἀξίου προσώπου εἰς τὴν Μητρόπολιν ταύτην μετὰ ἐνεργῶν Μητροπολιτικῶν δικαιωμάτων καὶ τὴν προβολὴν τριῶν ὑποψηφίων τῶν μᾶλλον καταλλήλων εἰς τοῦτο, ἤτοι τοῦ Πανοσιολογιωτάτου Ἀρχιγραμματέως τῆς Ἱερᾶς Συνόδου Ἀρχιμανδρίτου Γερμανοῦ, τοῦ Θεοφιλεστάτου Ἐπισκόπου Ἀπολλωνιάδος Ἰωακεὶμ καὶ τοῦ Πανοσιολογιωτάτου Ἀρχιμανδρίτου Γενναδίου, κατελθόντες ἐν τῷ πανσέπτῳ Πατριαρχικῷ ναῷ τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, προτροπῇ καὶ ἀδείᾳ τοῦ Παναγιωτάτου καὶ Σεβασμιωτάτου ἡμῶν Αὐ-

---

217) ὅρα σημ. 176. — Κῶδιξ ὑπομνημάτων τοῦ Πατριαρχικοῦ Ἀρχειοφυλακείου.

θέντου καὶ Δεσπότου, τοῦ Οἰκουμενικοῦ Πατριάρχου κυρίου κυρίου Γρηγορίου, καὶ ἡμῖν κανονικὰς προβαλόμενοι, τῇ ἐπικλήσει τοῦ Παναγίου Πνεύματος, εἰς ἀνάδειξιν τοῦ ἐξ αὐτῶν ἀναδεξομένου τὴν ἀρχιερατικὴν προστασίαν καὶ ποιμαντορικὴν ῥάβδον τῆς Ἁγιωτάτης ταύτης Μητροπόλεως προεκρίναμεν τὸν Πανοσιολογιώτατον Ἀρχιγραμματέα τῆς Ἱερᾶς Συνόδου κύριον Γερμανόν. Ἐφ' ᾧ καὶ εἰς διηνεκῆ ἔνδειξιν καὶ μόνιμον παράστασιν κατεστρώθη τὰ ὀνόματα αὐτῶν ἐν τῷ δε τῷ Κώδικι τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ,αϡκδ', κατὰ μῆνα Μάρτιον [ιγ'], Ἐπινεμήσεως Ζ'.

(ὑπ.) † *ὁ Κυζίκου Καλλίνικος*—† *ὁ Νικαίας Βασίλειος* ἔχων καὶ τὴν γνώμην τοῦ Ἁγίου *Δέρκων*—† *ὁ Χαλκηδόνος Ἰωακεὶμ*—† *ὁ Προύσης Κωνσταντῖνος*—† *ὁ Νεοκαισαρείας Ἀγαθάγγελος*—† *ὁ Σηλυβρίας Εὐγένιος*—† *ὁ Ροδοπόλεως Κύριλλος*—† *ὁ Ἀνέων Θωμᾶς.*

Β'] ***Πατριαρχικὴ καὶ Συνοδικὴ πρᾶξις περὶ ἀναθέσεως κατ' ἐπίδοσιν τῆς Ἁγιωτάτης μητροπόλεως Πισιδίας τῷ Σάρδεων Γερμανῷ.*** [248])

† *ΓΡΗΓΟΡΙΟΣ, ἐλέῳ Θεοῦ, Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.*

Ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ ἡμᾶς Ἁγίας καὶ Ἱερᾶς Συνόδου διασκεψάμενοι περὶ τῆς ἐν χηρείᾳ διατελούσης ἐπαρχίας Πισιδίας, ἔγνωμεν ἀναθέσθαι τὴν τακτικὴν ἀρχιερατικὴν προστασίαν καὶ διακυβέρνησιν αὐτῆς κατ' ἐπίδοσιν τῷ Ἱερωτάτῳ Μητροπολίτῃ Σάρδεων καὶ ἀγαπητῷ ἡμῖν ἐν Χριστῷ ἀδελφῷ κυρίῳ Γερμανῷ, ὁρίσαντες ὅπως οὗτος, τιτλοφορούμενος «Ἱερώτατος Μητροπολίτης Σάρδεων καὶ Πισιδίας, ὑπέρτιμος καὶ ἔξαρχος Λυκίας», ἔχῃ ἅπαντα καὶ τὰ τῷ Μητροπολίτῃ Πισιδίας ἀναγεγραμμένα ἐνεργὰ καθήκοντα καὶ δικαιώματα τὰ εἰς τὴν προστασίαν καὶ διακυβέρνησιν τῆς ἐπαρχίας ταύτης ἀναφερόμενα καὶ τὰ τὴν σχέσιν αὐτοῦ ἀπέναντι της Ἐκκλησίας καὶ τῆς λοιπῆς ἱεραρχικῆς χορείας καθορίζοντα, κατέχων καὶ ἐν τῷ Συνταγματίῳ τὴν θέσιν καὶ τὴν στάσιν τὴν ὡρισμένην τῷ Μητροπολίτῃ Πισιδίας. Ἐπὶ τούτῳ δὲ εἰς ἔνδειξιν καὶ μόνιμον παράστασιν ἐγένετο καὶ ἡ παροῦσα Πατριαρχικὴ ἡμῶν καὶ Συνοδικὴ Πρᾶξις, καταστρωθεῖσα καὶ ὑπογραφεῖσα ἐν τῷ Κώδικι τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐπίσημον δ' αὐτῆς ἀντίγραφον

[248]) Κῶδιξ ὑπομνημάτων τοῦ Πατριαρχ. Ἀρχειοφυλακείου. Σχετικῶς πρὸς τὸν τίτλον τοῦ «*ἐξάρχου Λυκίας*» καὶ εἶτα «*ἐξάρχου πάσης Λυδίας*» ὅρα καὶ σημ. 54 καὶ 209.

ἐδόθη καὶ τῷ Ἱερωτάτῳ Μητροπολίτῃ Σάρδεων καὶ Πισιδίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ Λυκίας κ. Γερμανῷ.

Ἐν ἔτει σωτηρίῳ ,αϡκδ', κατὰ μῆνα Μάρτιον [ιη'], Ἐπινεμήσεως Ζ'.

(ὑπ.) † *Ὁ Πατριάρχης Κωνσταντινουπόλεως ΓΡΗΓΟΡΙΟΣ ἀποφαίνεται.*

† *ὁ Κυζίκου Καλλίνικος* — † *ὁ Νικαίας Βασίλειος* — † *ὁ Χαλκηδόνος Ἰωακεὶμ*—† *ὁ Προύσης Κωνσταντῖνος*—† *ὁ Νεοκαισαρείας Ἀγαθάγγελος* — † *ὁ Σηλυβρίας Εὐγένιος* — † *ὁ Ροδοπόλεως Κύριλλος* — † *ὁ Ἀνέων Θωμᾶς.*

Γ'] ***Πονήματα τοῦ αὐτοῦ.***

Πλὴν ἄλλων τινῶν, χρονογραφικῆς φύσεως, σημειοῦνται τὰ ἑξῆς μικρὰ ἄρθρα : [249])

α'] *ἐν τῇ «Ἐκκλησιαστικῇ Ἀληθείᾳ»* : Ἐντυπώσεις ἐκ Σερβίας.—Οἱ ἅγιοι Τόποι.—Ἡ 30ὴ Νοεμβρίου.

β'] *Ἐν τῷ «Νέῳ Ποιμένι»* : Οἱ ἐν Βενετίᾳ ἀρχιερατεύσαντες Μητροπολῖται Φιλαδελφείας τῆς ἐν Λυδίᾳ, 1577—1790.—Τὸ Γραφεῖον τῆς Ἱ. Συνόδου. Σύστασις καὶ λειτουργία αὐτοῦ.— (Ἀμφότερα ἐξεδόθησαν καὶ κατ' ἰδίαν ἐξ ἀνατυπώσεως).

γ'] *Ἐν τῇ «Ἀναγεννήσει»* : Ὁ κλῆρος καὶ ἡ Ἐκκλησία Κωνσταντινουπόλεως —Ἡ πνευματικὴ ἐργασία.—Τὰ μοναστήρια καὶ ἡ συντήρησις τοῦ κλήρου.—Ἡ κάλυψις τῶν νεκρῶν.—Ἡ ἐκκλησιαστικὴ μεταρρύθμισις.—Ὁ 6' γάμος τῶν Σέρβων ἱερέων.—Συνεργασία.—Ἡ Ἐκκλησία Κων/πόλεως.—Ἡ Γέννησις τοῦ Χριστοῦ.—Ἡ Βασιλόπητα.—Ὁ Ἐσταυρωμένος.—Κλῆρος καὶ Οἶκος.—Κλῆρος καὶ Σχολή.—Κλῆρος καὶ Ἐκκλησία.—Ὁ ἀλκοολισμός.—Ἡ ἑορτὴ τοῦ ἀποστόλου Ἀνδρέου.

δ'] *Ἐν τῇ «Ὀρθοδοξίᾳ»* : Ἡμερολογιακά.—Πίναξ τῶν Ἐπισκόπων καὶ Πατριαρχῶν ΚΠόλεως ἀλφαβητικὸς καὶ χρονολογικός.—Κατάλογος τῶν ἐπαρχιῶν τοῦ Πατριαρχείου ΚΠόλεως κατὰ τὸν ιζ' αἰῶνα.—Πίναξ χρονολογικὸς τῶν Ἐπισκόπων καὶ Παπῶν Ῥώμης.—Ἱστορικὴ μελέτη τῆς Ἐκκλησίας τῶν Σάρδεων καὶ τῶν ἐπισκόπων αὐτῆς.—(Ἡ μελέτη αὕτη ἀνατυπωθεῖσα ἀποτελεῖ τὸ ἀνὰ χεῖρας βιβλίον).

ε'] *«Ἡ χαρὰ τῆς ζωῆς»* (ἐν ΚΠόλει 1921), κατὰ μετάφρασιν ἐκ τοῦ γαλλικοῦ τοῦ ἔργου τοῦ διασήμου ἀμερικανοῦ κοινωνιολόγου δρ. O. S. Marden («La Joie de vivre, ou comment découvrir le secret du bonheur»).

[249]) α'] ***Ἐκκλησ. Ἀλήθεια*** ἔτος ΜΒ' 1922 σελ. 177. 185. 195. 226. 265. 305. 368. 463.—β'] ***Νέος Ποιμὴν*** ἔτος Δ' 1922 σ. 595 καὶ ἑξῆς. γ'] ***Ἀναγέννησις*** τόμ. Α' 1919 σ. 35. 85. 169. 189. 260. 300. 313 τόμ. Β' 1920 σ. 21. 163. 174. 298. 307. 320. 344. 362. 387. 409. 429. 451. 464. τόμ. Γ' 1921 σ. 38. 58. 78. 109.—δ'] ***Ὀρθοδοξία*** τόμ. Α' 1926 σ. 59. 108. 164. 215. τόμ. Γ' 1928 σ. 29. 96. 231. 336. 159. 217. 274. 305. 356. 411. τόμ. Δ' 1929 σελ. 16. 60. 102. 192.

ΠΙΝΑΞ ΧΡΟΝΟΛΟΓΙΚΟΣ

τῶν ἐν ἐνεργείᾳ καὶ τιτουλαρίων Ἐπισκόπων καὶ Μητροπολιτῶν Σάρδεων.

Ὁ ὑφ' ἡμῶν καταρτισθεὶς κατάλογος τῶν τιτλούχων Σάρδεων (πρβλ. σελ. 75), συμπληρωθεὶς καὶ διὰ τοῦ ὀνόματος τοῦ Ἀρχιεπισκόπου Βαρθολομαίου, (σελ. 117) περιλαμβάνει 48 ἐν ὅλῳ ἱεράρχας, ἐξ ὧν 32 ἐν ἐνεργείᾳ ἐπίσκοποι καὶ μητροπολῖται, 11 ἁπλοῖ τιτουλάριοι τοιοῦτοι, 1 προεδρικῶς διευθύνας τὴν ἐκκλησίαν τῶν Σάρδεων (ὁ Κερκύρας Γεράσιμος) καὶ 4 τιμητικῶς ἐπέχοντες τὸν τόπον τοῦ Σάρδεων (ὁ Νικαίας Βησσαρίων, ὁ Μελενίκου Γεράσιμος, ὁ Σερρῶν Γεννάδιος καὶ ὁ Οὐγγροβλαχίας). Ἐπεσκόπευσαν δὲ οὗτοι χρονικῶς ὡς ἑξῆς:

1] ὁ Ἄγγελος τῆς Ἀποκαλύψεως	α' αἰὼν	26] Ἰάκωβος Χαλαζᾶς	ιγ' αἰὼν
2] Μελίτων ὁ Ἀσιανὸς	β' αἰὼν	27] Γεράσιμος ὁ *Κερκύρας*	ιγ' αἰὼν
3] Ἀρτεμίδωρος	δ' αἰὼν	28] Κλήμης	ιγ' αἰὼν
4] Λεόντιος	δ' αἰὼν	29] Ἀνώνυμος	ιδ' αἰὼν
5] Ἑορτάσιος	δ' αἰὼν	30] Θεόδωρος Γαληνὸς	ιδ' αἰὼν
6] Μεώνιος	ε' αἰὼν	31] Νικηφόρος (ὁ Β')	ιδ' αἰὼν
7] Φλωρέντιος	ε' αἰὼν	32] Γρηγόριος	ιδ' αἰὼν
8] Αἰθέριος	ε' αἰὼν	33] Διονύσιος ὁ Θεσσαλονικεύς	ιε' αἰὼν
9] Ἰουλιανὸς	στ' αἰὼν	34] Βησσαρίων ὁ *Νικαίας*	ιε' αἰὼν
10] Μαρῖνος	ζ' αἰὼν	35] Νικόλαος	ιε' αἰὼν
11] Εὐθύμιος ὁ Λυκαονεύς	η' αἰὼν	36] Γεράσιμος ὁ *Μελενίκου*	ιε' αἰὼν
12] Ἰωάννης (ὁ Α')	θ' αἰὼν	37] Ἀνώνυμος	ιστ' αἰὼν
13] Πέτρος (ὁ Α')	θ' αἰὼν	38] Γεννάδιος ὁ *Σερρῶν*	ιστ' αἰὼν
14] Θεοφύλακτος	θ' αἰὼν	39] Ἀνωνύμως ὁ *Οὐγγροβλαχίας*	ιζ' αἰὼν
15] Πέτρος (ὁ Β')	θ' αἰὼν	40] Ἐφραὶμ ὁ Κρής	ιζ' αἰὼν
16] Ἰωάννης (ὁ Β')	θ' αἰὼν	41] Νικόδημος	ιη' αἰὼν
17] Πέτρος (ὁ Γ')	ι' αἰὼν	42] Τιμόθεος ὁ Μολόχας	ιη' αἰὼν
18] Ἀντώνιος	ι' αἰὼν	43] Βαρθολομαῖος	ιη' αἰὼν
19] Λέων	ι' αἰὼν	44] Νεκτάριος Θωμαΐδης	ιθ' αἰὼν
20] Ἰωάννης (ὁ Γ')	ιβ' αἰὼν	45] Βσρλαὰμ	ιθ' αἰὼν
21] Νικήτας	ιβ' αἰὼν	46] Μελέτιος	ιθ' αἰὼν
22] Ἀνώνυμος	ιβ' αἰὼν	47] Μιχαὴλ Κλεόβουλος	κ' αἰὼν
23] Νικηφόρος ὁ Χρυσοβέργης	ιγ' αἰὼν	48] Γερμανὸς Ἀθανασιάδης	1924—
24] Ἀλέξιος	ιγ' αἰὼν		
25] Ἀνδρόνικος ὁ Παφλαγὼν	ιγ' αἰὼν		

Πιναξ των Περιεχομενων

Σελ.

Εἰσαγωγὴ 5

Μέρος Α'.

Ἡ ἵδρυσις καὶ ἡ κατόπιν ζωὴ τῆς ἐν Σάρδεσιν Ἐκκλησίας.

§ 1. Ἡ ἵδρυσις τῆς Ἐκκλησίας τῶν Σάρδεων 9
§ 2. Ἡ Ἐκκλησία τῶν Σάρδεων κατὰ τὴν Ἀποκάλυψιν 12
§ 3. Ἡ Ἐκκλησία τῶν Σάρδεων διὰ τῶν αἰώνων 14
§ 4. Ἡ κανονικὴ ἐξάρτησις τῆς Μητροπόλεως Σάρδεων 19
§ 5. Ἡ ἐν τοῖς τακτικοῖς ἀναγραφὴ τῆς Μητροπόλεως Σάρδεων 23
§ 6. Ἡ ἐξαρχία τῆς Μητροπόλεως Σάρδεων 25
§ 7. Αἱ ἐπισκοπαὶ τῆς Μητροπόλεως Σάρδεων 27

Μέρος Β'.

Κατάλογος τῶν Μητροπολιτῶν καὶ Ἐπισκόπων τῆς Ἐκκλησίας Σάρδεων.

Κεφάλαιον α'.

Ὁ ἐπισκοπικὸς κατάλογος τῆς Μητροπόλεως Σάρδεων. 38

§ 8. Οἱ ἐν ἐνεργείᾳ ἐπίσκοποι καὶ μητροπολῖται Σάρδεων (α'—ιδ' αἰών) . . . 39

α') ὁ ἐν Σάρδεσιν ἄγγελος τῆς Ἀποκαλύψεως 40
β'] Μελίτων. 41
γ'] Ἀρτεμίδωρος. 42
δ'] Λεόντιος. 43
ε'] Ἑορτάσιος. 44
στ'] Μεώνιος 45
ζ'] Φλωρέντιος 45
η'] Αἰθέριος. 46
θ'] Ἰουλιανὸς 47
ι'] Μαρῖνος 47
ια'] Εὐθύμιος. 47
ιβ'] Ἰωάννης (Α'). 50
ιγ'] Πέτρος (Α'). 51
ιδ'] Θεοφύλακτος 52
ιε'] Πέτρος (Β') 52
ιστ'] Ἰωάννης (Β'). 53
ζ'] Πέτρος (Γ') 53
ιη'] Ἀντώνιος. 54
ιθ'] Λέων. 54
κ'] Ἰωάννης (Γ') 54
κα'] Νικήτας 54
κβ'] Ἀνώνυμος 55
κγ'] Νικηφόρος ὁ Χρυσοβέργης. . 55
κδ'] Ἀλέξιος 55
κε'] Ἀνδρόνικος τὸ α' 56
τὸ β' 59
κστ'] Ἰάκωβος Χαλαζᾶς 58
κζ'] Γεράσιμος (ὁ Κερκύρας) . . . 60
κη'] Κλήμης 61
κθ'] Ἀνώνυμος 61
λ'] Θεόδωρος Γαληνὸς 62
λα'] Νικηφόρος (Β') 62
λβ'] Γρηγόριος 62

SISMANOGLIO

Σελ.

§ 9. Οἱ τιτουλάριοι Σάρδεων καὶ οἱ τὸν τόπον αὐτοῦ ἐπέχοντες (ιε'-κ' αἰών) . 63

λγ'] Διονύσιος 64
λδ'] Βησσαρίων (ὁ Νικαίας) 65
λε'] Νικόλαος 65
λστ') Γεράσιμος (ὁ Μελενίκου) . . . 66
λζ') Ἀνώνυμος 66
λη') Γεννάδιος (ὁ Σερρῶν) 66
λθ'] Ὁ Οὐγγροβλαχίας (ἀνωνύμως) . 67
μ'] Ἐφραὶμ 67
μα'] Νικόδημος 67
μβ'] Τιμόθεος 67
μγ'] Νεκτάριος Θωμαΐδης. 68
μδ'] Βαρλαὰμ 69
με'] Μελέτιος 69
μστ'] Μιχαὴλ Κλεόβουλος 69

§ 10. Οἱ ἀπὸ τῆς ἀνασυστάσεως τῆς Μητροπόλεως Σάρδεων ἱεράρχαι αὐτῆς (Μάρτιος 1924) . . . 71

μζ'] Γερμανὸς Ἀθανασιάδης 72
Συγκριτικαὶ σημειώσεις 74

Κεφάλαιον β'.

Οἱ ἐπισκοπικοὶ κατάλογοι τῶν ἐπισκοπῶν τῆς Μ/πόλεως Σάρδεων . 75

§ 11. Οἱ κατ' ἐπισκοπὰς ἐν ἐνεργείᾳ καὶ τιτουλάριοι ἐπίσκοποι 77

α') Ἀγκύρας σιδηρᾶς 77
β') Ἀκρασοῦ 77
γ') Ἀπολλωνιάδος 77
δ') Ἀπόλλωνος ἱεροῦ 77
ε') Ἀτταλείας 78
στ') Λυρηλιουπόλεως 78
ζ') Βάγης 78
η') Βαλάνδου 79
θ') Γαβάλων 79
ι') Γόρδου 79
ια') Δάλδης 79
ιβ') Ἑρμοκαπηλείας 80
ιγ') Θυατείρων 80
ιδ') Ἱεροκαισαρείας 81
ιε') Κερασέων 81
ιστ') Μαιονίας 81
ιζ') Μεσοτιμόλου 82
ιη') Μοστήνης 82
ιθ') Σάλων 82
κ') Σατάλων 82
κα') Σιλάνδου 82
κβ') Σέττων 83
κγ') Στρατονικείας 83
κδ') Τρακούλεων ἢ Γαυδίας . . . 83
κε') Τράλλων 83
κστ') Τριπόλεως 84
κζ') Ὑρκανίδος 84
κη') Φιλαδελφείας 84
Σημειώσεις 85

Παράρτημα.

I. — Ἐπιστολὴ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τῷ ἐν Σάρδεσιν ἐπισκόπῳ (κατὰ τὴν Ἀποκάλυψιν) 87

II.—Πατριαρχικαὶ καὶ Συνοδικαὶ Πράξεις περὶ ὑπαγωγῆς τῆς ἐρημωθείσης Μ/πόλεως Σάρδεων ὑπὸ τὴν τῆς Φιλαδελφείας :

α') Ἐπὶ Οἰκουμενικοῦ Πατριάρχου Φιλοθέου [τὸ β' Λῦγ. 1369] . . . 88
β') » » » Νείλου [κατὰ Νβρ. 1382] . . . 89

III.—Ἐπιστολὴ τῆς ἐν Σάρδεσι συνελθούσης ἐπαρχιακῆς συνόδου Λυδίας πρὸς τὸν αὐτοκράτορα Λέοντα 90

IV.—Πατριαρχικαὶ καὶ Συνοδικαὶ ἀποφάσεις :

α') ἐπὶ Οἰκουμενικοῦ Πατριάρχου Γρηγορίου Ζ' περὶ ἀποκαταστάσεως τῆς Μ/πόλεως Σάρδεων [Μάρτιος 1924] 92

Σελ.

β') ἐπὶ Οἰκουμενικοῦ Π/χου Βασιλείου Γ' περὶ ἀποδόσεως αὐτῇ τῆς «ἐξαρχίας πάσης Λυδίας» (Αὔγ. 1928) 92

V. Συγγράμματα ἱεροῦ Μελίτωνος 93

VI. α') Τρεῖς ἐπιστολαὶ Θεοδώρου τοῦ Στουδίτου πρὰς τὸν ἱερὸν Εὐθύμιον 99
β') Ἀκολουθία τοῦ ἱεροῦ Εὐθυμίου 102
γ') Βιογραφία τοῦ ἱεροῦ Εὐθυμίου 104

VII.— Δύο ἐπιστολαὶ Θεοδώρου τοῦ Στουδίτου πρὸς τὸν Σάρδεων Ἰωάννην (Α') 104

VIII.—Πόνημα Σάρδεων Πέτρου (τοῦ Β') 106

IX. — Ἔργα Σάρδεων Ἰωάννου (τοῦ Β') 106

X. — Ἐπιστολὴ Οἰκουμενικοῦ Πατριάρχου Νικολάου τοῦ Μυστικοῦ (τὸ β' 912-925) πρὸς Ἀντώνιον τὸν Σάρδεων 106

XI. — Ἔργα τοῦ Σάρδεων Λέοντος 107

XII.—Σφραγὶς τοῦ Σάρδεων Ἰωάννου (τοῦ Γ') 107

XIII.—Πονήματα τοῦ Σάρδεων Νικηφόρου τοῦ Χρυσοβέργη. 108

XIV.—Τρεῖς ἐπιστολαὶ Θεοδώρου Δούκα τοῦ Λασκάρεως πρὸς τὸν Σάρδεων Ἀνδρόνικον 111

XV.—Ἐπίγραμμα ἐπιτάφιον εἰς τὸν Σάρδεων Θεόδωρον Γαληνὸν 112

XVI.—Ἐπίγραμμα ἐπιτάφιον εἰς τὸν Σάρδεων Διονύσιον 113

XVII.—Παραινετικὴ ἐπιστολὴ τοῦ Σάρδεων Ἐφραὶμ πρὸς τὸν Μ. Λογοθέτην τῶν Πατριαρχείων Ἰωάννην Καρυοφύλλην 113

XVIII.—Ὑπόμνημα ἐκλογῆς τοῦ Σάρδεων Νικοδήμου 115

XIX.—Δύο γράμματα τοῦ Σάρδεων Τιμοθέου πρὸς τὴν Κοινότητα Βιέννης. 116

XX.—Γράμμα τοῦ Σάρδεων Βαρθολομαίου πρὸς τὴν Κοινότητα Βιέννης . 117

XXI.—Ἐπιγραφαὶ ἀναφερόμεναι εἰς τὸν Σάρδεων Νεκτάριον Θωμαΐδην . . 119

XXII.—Α') Ὑπόμνημα ἐκλογῆς τοῦ Σάρδεων Μιχαὴλ Κλεοβούλου . . . 120
Β') Ἐπίγραμμα ἐπιτάφιον εἰς αὐτὸν 121

XXIII.—Α') Ὑπόμνημα ἐκλογῆς τοῦ Σάρδεων Γερμανοῦ Ἀθανασιάδου . 121
Β') Πατριαρχικὴ καὶ Συνοδικὴ ἀπόφασις περὶ ἀναθέσεως κατ' ἐπίδοσιν τῆς μητροπόλεως Πισιδίας, τῷ Σάρδεων Γερμανῷ 122
Γ') Πονήματα τοῦ αὐτοῦ 123

Πίναξ χρονολογικὸς τῶν ἐν ἐνεργείᾳ καὶ τιτουλαρίων ἐπισκόπων καὶ Μητροπολιτῶν Σάρδεων 124

Πίναξ τῶν περιεχομένων 125

SISMANOGLIO

MEGARO
ISMANOGLOU

SISMANOGLIO MEGARO

Ἀνατύπωσις ἐκ τῆς «Ὀρθοδοξίας»